Capelle, W., Die Vorsokratiker. Die Fragmente u. Quellenberichte, Stuttgart 1938 (113–125 *vers. German.*)

Cardini-Timpanaro, M., Gli Eleati. Frammenti e testimonianze, Lanciano s. a. (circa 1924, *cum vers. Ital.*)

–, Saggio sugli Eleati, Stud. class. orient. 16, 1967, 149–255 (praesertim 149–168)

Carlotti, G., Senofane di Colofone, Giornale critico della filosofia italiana 9, 1928, 235–267

Casaubon, I., Animadversiones in Athenaei Deipnosophistas, Lugduni 1600

Cataudella, Q., I frammenti dei presocratici, tradotti da Q. C., Padova 1958

Cherniss, H., The Characteristics and Effects of Presocratic Philosophy, Journ. Hist. Ideas 12, 1951, 319–345

Corbato, C., Studi senofanei, Annali Triestini 22, 1952, 179–224

Corbato, C., Postilla senofanea 1952–1962, Riv. critica di Storia della Filosofia 18, 1963, 229–247
–, Scheda bibliografica a Heitsch, Riv. filol. class. 95, 1967, 242s
Cousin, V., Fragments philosophiques. Philosophie ancienne, Paris [3]1840, 1–83
Covotti, A., I Presocratici, Napoli 1934 (praesertim 114–121)
Decleva Caizzi, F., Senofane e il problema della conoscenza, Riv. filol. class. 102, 1974, 145–164
Defradas, J., Le banquet de Xénophane, Rev. ét. gr. 75, 1962, 344–365 (de 1)
Deichgräber, K., Xenophanes περὶ φύσεως, Rh. Mus. 87, 1938, 1–31
–, Der listensinnende Trug des Gottes, Nachr. Ges. Gött. IV 1, 1940 (Gött. 1952)
Deligiorgis, S., Between Philosophy and Literature. Perspectives on Xenophanes, Platon 25, 1973, 258–273
Diels, H., Chronologische Untersuchungen (Xenophanes), Rh. Mus. 31, 1876, 1–54 (praesertim 21–24)
–, Über die Genfer Fragmente des Xenophanes u. Hippon, Abh. d. Königl. Akad. d. Wissensch., Berlin 1891, 575–583 (de 19, 1)
–, Neue Fragmente des Xenophanes u. Hippon, Archiv f. Gesch. d. Philos. 4, 1891, 652s (de 24)
–, Über Xenophanes, ibid. 10, 1897, 530–535 (de 35)
–, Doxographi Graeci, coll., recens., proleg. indic. instr., Berolini et Lipsiae 1879
Döring, A., Xenophanes, Preuß. Jahrbb. 99, 1900, 282–299
Dümmler, F., Zur orphischen Kosmologie, Archiv f. Gesch. d. Philos. 7, 1894, 147–153 (de 27)
Edmonds, J. M., Xenophanes 2, 14, Proceed. Cambr. Philol. Soc. 148–150, 1931, 6
Einhorn, D., Xenophanes. Ein Beitrag zur Kritik der Grundlagen der bisherigen Philosophiegesch., Wien u. Leipzig 1917
–, Zeit- u. Streitfragen der modernen Xenophanesforschung, Archiv f. Gesch. d. Philos. 31, 1918, 212–230
Eisenstadt, M., Xenophanes' proposed Reform of Greek Religion, Hermes 102, 1974, 142–150
Falus, R., La démonstration de l'idée de Dieu chez Xénophane, Acta Antiqua 19, 1972, 233–254
Ferrari, S., Gli Eleati, Mem. Accad. Lincei 10, vol. 289 (1892), 53–144 (praesertim 57–84)
Fränkel, H., Xenophanesstudien, Hermes 60, 1925, 174–192 (cf. Wege u. Formen, 335–349)
–, Parmenidesstudien, Nachr. Ges. Gött. Philol.-Histor. Kl., Heft 2, 1930, 153–192
François, G., Le polythéisme et l'emploi au singulier des mots θεός, δαίμων dans la littérature grecque d'Homère à Platon, Paris 1957
Freeman, K., The Pre-Socratic Philosophers, Oxford 1953, [2]1966 (praesertim 88–104)
–, Ancilla to the Pre-Socratic Philosophers, Oxford 1948 (*vers. Angl.*)
Freudenthal, J., Über die Theologie des Xenophanes, Breslau 1886 (= Zur Lehre des Xenophanes, Archiv f. Gesch. d. Philos. 1, 1888, 322–347)
Fritz, K. v., *Νοῦς, νοεῖν* and their derivatives in Pre-socratic philosophy (excluding Anaxagoras) I. From the beginnings to Parmenides, Class. Phil. 40, 1945, 223–242
Fülleborn, G. G., Beyträge zur Geschichte der Philosophie I, Züllichau–Freystadt 1796 (Bruxelles 1968), 59–83 (vid. etiam vol. VII 1–18)
Gentili, B., Studi in onore di A. Ardizzoni, Roma 1978, 397 (ad 1)

Gigante, M., Senofane e «la colonizzazione di Elea», La parola del passato 25, 1970, 236–240
Gigon, O., Der Ursprung der griech. Philosophie von Hesiod bis Parmenides, Basel 1944, 154–196
–, Die Theologie der Vorsokratiker, Entr. Hardt I, Vandœuvres–Genève 1954, 127–155 (praesertim 141–146)
Gilbert, O., Jonier u. Eleaten, Rh. Mus. 64, 1909, 185–201 (praesertim 190–195)
Gomperz, Th., Beiträge zur Kritik u. Erklärung griech. Schriftsteller III, Wien. Sitzungsber. 1875, 570ss (de 3, 6; 39, 1)
–, Griechische Denker I, Leipzig 1896 (⁴1922)
–, Zur Chronologie des Xenophanes, Philol. Woch. 52, 1932, 1411–1414
Guilmot, M., Xénophane et l'Egypte, Chronique d'Egypte 19, 1944, 74–84
Guthrie, W. C., A History of Greek Philosophy I, Cambridge 1962, 360–402
Havelock, E. A., Pre-literacy and the Pre-Socratics, Bull. Inst. Class. Stud. Univ. London 13, 1966, 44–67 (praesertim 51–54)
–, The Greek Concept of Justice from its Shadow in Homer to its Substance in Plato, Cambridge Mass.–London 1978, 249–262 (ad 1; 3; 30)
Heidel, W. A., On certain Fragments of the Presocratics, Proceed. Amer. Acad. of Arts and Sciences 48, 1913, 681–734
–, Hecataeus and Xenophanes, Amer. Journ. of Philol. 64, 1943, 257–277
Heitsch, E., Wahrheit als Erinnerung, Hermes 91, 1963, 36–62
–, Das Wissen des Xenophanes, Rh. Mus. 109, 1966, 193–235
Hermann, G., Extemporalia, Zeitschr. f. Alterthumswiss. 4, 1837, 321–328 (praesertim 321–324: de 1; 2; 3, 5)
Herter, H., Das Symposion des Xenophanes, Wien. Stud. 69, 1956, 33–48 (de 1)
Hofmann, E., Die Sprache u. die archaische Logik, Tübingen 1925
Householder, F. W., *Παρῳδία*, Class. Phil. 39, 1944, 1–9
Howald, E., Jahresb. für 1897–1923, Bursians Jahresb. 197, 1923, 170–176; für 1923–1926, ibid. 216, 1928, 124–125
Huxley, G., The Son of Xenophanes, Greek, Roman and Byzantine Studies 9, 1968, 309–312
Immisch, O., Zu griech. Dichtern: vid. Diss. Gener.
Jacobs, F., De Xenophanis arte metrica, Progr. Schneidemühl 1904, 3–8
Jackson, H., Notes on Xenophanes, Proceed. Cambr. Philol. Soc. 1909, 17s
Jaeger, W., Xenophanes and the Beginnings of Natural Theology, The A. Schweitzer Jubilee Book, Cambridge Mass. 1946, 395–424
–, Die Theologie der frühen griech. Denker, Zürich 1953
Jaspers, K., Xenophanes, Discordia concors. Festschr. f. E. Bonjour (Basel), Stuttgart 1968, 595–604
Kerferd, G. B., Gnomon 29, 1957, 127–131, *Recens.* Untersteiner, Senofane
Kern, F., Quaestionum Xenophanearum capita II, Numburgi 1864
–, Ein Beitrag zur Darstellung der Philosophie des Xenophanes, Danzig 1871
–, Über Xenophanes von Kolophon, Stettin 1874
–, Untersuchungen über die Quellen für die Philosophie des Xenophanes, Stettin 1877
Kerschensteiner, J., Kosmos. Quellenkritische Untersuchungen zu den Vorsokratikern, München 1962 (praesertim 84–96)
Kirk, G. S. – Raven, J. E., The Presocratic Philosophers, Cambridge 1957 (praesertim 163–181)
Koutsoghiannopoulos, D. I., *Ξενοφάνης ὁ Κολοφώνιος καὶ ἡ συμβολή του εἰς τὴν ἀρχαίαν λογικήν*, Mélanges Vourvéris, Athenis 1964, 75–94

Kranz, W., Vorsokratisches, Hermes 69, 1934, 226–228 (de 6)
Kurfess, A., Varia II. Xenophanea, Mnemosyne 41, 1913, 111–114 (de 17)
Levi, A., Il concetto del tempo nei suoi rapporti coi problemi del divenire e dell'essere nella filosofia greca sino a Platone, Rivista di filosofia neoscolastica 11, 1919, 371–393
–, Sul pensiero di Senofane, Athenaeum 5, 1927, 17–29
Levi, M., Senofane e la sua filosofia, Torino 1904
Loenen, J. H., In Defence of the Traditional Interpretation of Xenophanes Frag. 18 (Die.), Mnemosyne 9, 1956, 135s
Lortzing, F., Bericht über die griech. Philosophen vor Sokrates für die Jahre 1876–1897. Xenophanes, Bursians Jahresb. 112, 1902, 236–250; für ... 1898–1906, ibid. 133, 1907, 130s
Ludwich, A., Bemerkungen zu Xenophanes, Mélanges Nicole, Genève 1905, 335–347
Lumpe, A., Die Philosophie des Xenophanes von Kolophon, Diss. München 1952
–, Solons Einfluß auf Xenophanes: vid. Diss. Sol.
Luther, W., Weltansicht u. Geistesleben. Versuch einer wissenschaftlichen Grundlegung der philosophischen Sprachanalyse an Beispielen aus der griech. Geistesgeschichte von Homer bis Aristoteles, Göttingen 1954
–, Der frühgriech. Wahrheitsgedanke im Lichte der Sprache, Gymnasium 65, 1958, 75–107
Marinone, N., Lessico di Senofane, Roma 1967 (Hildesheim 1972)
Marković, M., Estuvo Jenóphanes de Elea en Hvar (Lesina)?, Istoriski Časopis 2, 1949–1950, 19–27
–, Ad Xenophanis frg. 8 (Diels), Živa Antika 1, 1951, 117–120 (de 7)
–, Was Xenophanes in Paros (Greece), Pharos (Dalmatia) or Pharos (Egypt)?, Class. Philol. 54, 1959, 121
Massa-Positano, L., Nugae IV. Archiloco, Eraclito e Senofane, La parola del passato 1, 1946, 364–367 (de 35)
Mavrokordatos, N., Der Monotheismus des Xenophanes, Diss. Leipzig 1910
Mondolfo, R., Note sull'Eleatismo, Riv. filol. class. 62, 1934, 209–228 (= Problemi del pensiero antico, Bologna 1936, 156–185)
–, L'infinito nel pensiero dell'antichità classica, Firenze 1934
–, Il pensiero antico, Firenze 1961, 70–89
Morger, J., Die Religiosität des Archilochos, Hipponax, Semonides von Amorgos u. Xenophanes, Diss. Innsbruck 1953 (dact.)
Nestle, W., Bemerkungen zu den Vorsokratikern u. Sophisten, Philologus 67, 1908, 531–581 (praesertim 531–533: de 1, 16; 7, 2; 39)
Orvieto, A., La filosofia di Senofane, Firenze 1899
Pasquinelli, A., I Presocratici. Frammenti e testimonianze I, Torino 1958 (*vers., Ital.*)
Pötscher, W., Zu Xenophanes, Frgm. 23, Emerita 32, 1964, 1–13 (de 24)
Praechter, K., Zu Xenophanes, Frgm. 23, Philologus 64, 1905, 308–310 (de 24)
Raischenberger, W., Herakleitos u. die Eleaten, Archiv f. Gesch. d. Philos. 32, 1919, 108–112
Rathmann, W., Quaestiones Pythagoreae, Orphicae, Empedocleae, Diss. Halle 1933 (praesertim 37s: de 6)
Reiche, H. A. T., Empirical Aspects of Xenophanes' Theology, Essays in Ancient Greek Philosophy, New York 1971, 88–110
Reinhardt, K., Parmenides u. die Geschichte der griech. Philosophie, Bonn 1916
Rey, A., La jeunesse de la science grecque, Paris 1933

Ritschl, F., Mittheilungen aus u. über Handschriften, Rh. Mus. 1, 1842, 140–142 (de 1, 5)
Ritter, H. – Preller, L., Historia philosophiae Graecae. Testimonia auctorum coll. notisque instruct., Gothae [10]1934
Rivier, A., Remarques sur les fragments 34 et 35 de Xénophane, Rev. de Philol. 30, 1956, 37–61 (de 35 et 36)
Roig, A. A., Notas a algunos fragmentos Jenofaneanos, Revista de Estudios Clásicos 4, 1951, 211–231
–, La teología de Jenófanes, Revista de Estudios Clásicos 6, 1955, 203–235
Rudberg, G., Xenophanes, Satiriker u. Polemiker, Symb. Osl. 26, 1948, 126–133
–, Zur vorsokratischen Abstraktion, Eranos 52, 1954, 131–138
Schwabl, H., Die Eleaten (Xenophanes. Nachtrag zu Parmenides, Melissos). Der Forschungsbericht 1939–1956, Anzeiger f. d. Altertumsw. 10, 1957, 195–214
Schweighäuser, I., Animadversiones in Athenaei Deipnosophistas post I. Casaubonum, tom. V, Argentorati 1804
Shorey, P., Note on Xenophanes Fr. 18 (Diels) and Isocrates Panegyricus 32, Class. Phil. 6, 1911, 88s
Sitzler, J., Zu griech. Lyrikern u. Theokrit, Philol. Woch. 41, 1921, 1053–1055 (de Xenophane 1, 19ss)
Snell, B., Die Ausdrücke für den Begriff des Wissens in der vorplatonischen Philosophie (Philol. Unters. 29), Berlin 1924
Soleri, G., Politeismo e monoteismo nel vocabolario teologico della letteratura greca da Omero a Platone, Rivista di studi classici 8, 1960, 24–56
Špánar, J., Θεός u. θεοί bei Xenophanes von Kolophon, Sborník Prací Filos. Fak. Brněnské Univ. 10, 1965, 61–69 (de 26–29)
–, War der Gott des Xenophanes σφαιροειδής?, Listy Filologické 89, 1966, 238–244
Steinmetz, P., Xenophanesstudien, Rh. Mus. 109, 1966, 13–73
Tarán, L., Il concepto de lo divino en Jenófanes, Philosophia (Mendoza) 22, 1959, 10–25
Thesleff, H., On dating Xenophanes (Societas Scientiarum Fennica. Commentationes Humanarum Litterarum 23, 3), Helsinki 1957
Torraca, L., I Dossografi greci, Padova 1961
Überweg, F. – Praechter, K., Grundriß d. Gesch. der Philos. I, Berlin [12]1926 (Basel [13]1953)
Unger, G. F., Apollodor über Xenophanes, Philologus 43, 1884, 209–218
Untersteiner, M., Il concetto di anima secondo Senofane, Antiquitas 8, 1953, 76–79
–, Forme di religiosità primitiva e il concetto di terra in Senofane, Emerita 22, 1954, 137–158
–, L'essere senofaneo e una testimonianza di Cicerone (Acad. II 118 = 21 A 34 D.-K.), Rivista critica di storia della filosofia 9, 1954, 529s
–, Il problema del conoscere in Senofane, Sophia 23, 1955, 26–37
–, Problemi senofanei, Antidoron H. H. Paoli oblatum, Genova 1956, 325–333 (de 1, 19–24 et de 32)
Verdenius, W. J., Xenophanes 24, 3 (Die.), Mnemosyne 6, 1953, 197
–, Xenophanes frag. 18 (Die.), Mnemosyne 8, 1955, 221
–, Xenophanes frag. 1, 24, Mnemosyne 9, 1956, 136
Voghera, G., Senofane e i cinici autori di Silloi (Contributo alla storia della poesia sillografica), Stud. it. filol. class. 11, 1903, 1–16

Vogt, E., Des Timon von Phleius Urteil über Xenophanes, Rh. Mus. 107, 1964, 295–298 (de Test. 63)
Wachsmuth, C., Neue Bruchstücke aus den Schriften des Grammatikers Krates, Rh. Mus. 46, 1891, 552–556 (de 24)
West, M. L., Early Greek Philosophy and the Orient, Oxford 1971
Wiesner, J., Die Forschungsberichte I 1. Xenophanes 1957–1969 (1970), Anzeiger f. d. Altertumsw. 15, 1972, 1–15
Wilamowitz-Moellendorff, U. v., Parerga, Hermes 14, 1879, 163 (= Kl. Schr. IV 2) (de 1, 13ss)
–, Commentariolum grammaticum II, Progr. Univ. Gryphiswaldiae 1880, 7 (= Kl. Schr. IV 602s) (de 17)
–, Lesefrüchte, Hermes 40, 1905, 174, 1 (= Kl. Schr. IV 221, 1)
–, Lesefrüchte, Hermes 61, 1926, 278–280 (= Kl. Schr. IV 405–408) (de 1, 17ss; 3, 5; 35, 1ss; 36)
Wiśniewski, B., La philosophie de Xénophane, Stud. it. filol. class. 37, 1965, 167–171
Woodbury, L., Apollodorus, Xenophanes and the foundation of Massilia, Phoenix 15, 1961, 134–155
Zacher, K., Beiträge zur griech. Wortforschung I, Elegos, Philologus 57, 1898, 8–41
Zaphiropulo, J., L'école Eléate, Parménide-Zénon-Mélissos, Paris 1950
Zeller, E., *Ἡγεμονία* u. *δεσποτεία* bei Xenophanes, Archiv f. Gesch. d. Philos. 2, 1888, 1–4 (= Kl. Schr. I, Berlin 1910, 454–457)
Zeller, E. – Mondolfo, R., La filosofia dei Greci nel suo sviluppo storico I 3, a cura di G. Reale, Firenze 1967, 57–164
Zeppi, S., Senofane antiionico e presofista, Trieste 1961 (= Studi sulla filosofia presocratica, Firenze 1962, 25–47)
–, Intorno al pensiero di Senofane, Rivista critica di storia della filosofia 16, 1961, 385–398 (= Studi sulla filosofia presocratica, Firenze 1962, 1–24)
Ziegler, K., Die Persönlichkeit des Xenophanes, Satura Viadrina altera, Breslau 1921, 110–115
–, Xenophanes von Kolophon, ein Revolutionär des Geistes, Gymnasium 72, 1965, 289–302
Zoumpos, A. N., *Ἡ γνωσιολογία τοῦ Ξενοφάνους*, Platon 7, 1955, 158–164
–, *Φιλοσοφικὰ σημειώματα* 4. *Ὁ θεὸς τοῦ Ξενοφάνους παρὰ Διογένει Λαερτίῳ* 9, 19, Athenis 1961

SIGLORVM CONSPECTVS

α̣	littera incerta
[α]	littera in papyro vel in inscriptione deperdita
⌊α⌋	littera in papyro deperdita, sed alio fonte tradita
[...]	numerus litterarum quae in papyro perierunt
{α}	littera a viris doctis deleta
⟦α⟧	littera in papyro remota
⟨α⟩	littera a viris doctis addita
*	lacuna in textu
†	textus corrupte traditus
°	carmen spurium
$\bar{\mu}$, $\bar{\nu}$, $\bar{\varrho}$, $\bar{\sigma}$	littera *μ*, *ν*, *ϱ*, *σ* in fine vel in initio verbi positionem faciens
Tr.	Trincavelliani qui dicuntur codices
Tr.[ed.]	Stobaei floril. editio princeps a Trincavellio vulgata (Venetiis 1536)

Adr(ados), Ahr(ens), Ald(ina), Be(the), Bern(ardakis), B(er)gk[1.2.3.4], Bl(ass), Br(unck)[1.2.3], Büch(eler), Buttm(ann), Cam(erarius), Casaub(onus), Cr(usius), D(iehl)[1.2.3], Die(ls), D(iels)-K(ranz), Dind(orf), Edm(onds), Ehr(enberg), Emp(erius), H. Fränk(el), Friedl(änder)-Hoffl(eit), Frob(enius), Gaisf(ord), Gent(ili), Gesn(er), (Van) Groni(ngen), Grot(ius), Hart(ung), (Van) Herw(erden), Hi(ller), Hi(ller)-Cr(usius), Jac(oby), Jaeg(er), Kaib(el), Kal(inka), Ken(yon)[1.2.3] (= Aristot. Ath. Pol. ed. 1, 2, 3), Kink(el), K(ock), (Van) Leeuw(en), Lob(eck), L(obel)-P(age), Ludw(ich), Masar(acchia), Mull(ach), Mus(urus), N(auck)[2], P(age), Rich(ard), Ruth(erford), Scal(iger), Schn(ei)d(e)w(in), Schub(art), Schw(artz), Schweigh(äuser), Sitzl(er), Sn(ell), Stadtm(üller), Steph(anus), Sylb(urg), Tard(iti), Tsopan(akis), Turn(ebus), Unterst(einer), Urs(inus), Us(ener), Valck(enaer), Wack(ernagel), Welck(er), Wint(ertonus), Wytt(enbach), Xyl(ander). cetera nomina ex indice bibliographico facile suppleri possunt.

CALLINVS

TESTIMONIA VITAE ATQVE ARTIS[1])

Chronographia

1 Strab. 14, 1, 40 p. 647 s

ἐξ οὗ καὶ αὐτὸν (i. e. *Ἀρχίλοχον*) *νεώτερον εἶναι τοῦ Καλλίνου τεκμαίρεσθαι πάρεστιν.* quae praecedunt vid. ad Test. 8.

2 Clem. Alex. Strom. 1, 131, 7

μέμνηται γοῦν (*ὁ Ἀρχίλοχος*) *καὶ τῆς Μαγνήτων ἀπωλείας προσφάτως γεγενημένης. Σιμωνίδης μὲν οὖν κατὰ Ἀρχίλοχον φέρεται, Καλλῖνος δὲ πρεσβύτερος οὐ μακρῷ. τῶν γὰρ Μαγνήτων ὁ μὲν Ἀρχίλοχος* (Test. 43 Tard.) *ἀπολωλότων, ὁ δὲ εὐημερούντων μέμνηται.*

3 Schol. Bob. in Cic. Pro Arch. 25 (164 Hildebrandt) = Aristot. fr. 676 Rose

primus autem videtur elegiacum carmen scripsisse Callinos (aliinos *cod.*: *corr. Sylb.*, Ailinos *Welck.*).

4 Ps.-Censorin. De mus. VI 607, 2 Keil

prior est musica inventione metrica. cum sint enim antiquissimi poetarum Homerus Hesiodus Pisander, hos secuti elegiarii Callinus Mimnermus (Test. 17) Euenus ...

5 Orio s. v. *ἔλεγος* (58, 8 Sturz) = Didym. 1 (387 Schmidt)

εὑρετὴν δὲ τοῦ ἐλεγείου οἱ μὲν τὸν Ἀρχίλοχον (Test. 118 Tard.), *οἱ δὲ Μίμνερμον* (Test. 21), *οἱ δὲ Καλλῖνον παλαιότερον ... οὕτω Δίδυμος ἐν τῷ περὶ ποιητῶν.* cf. Et. Gud. s. v. *ἔλεγος* (452, 13 De Stefani).

---

1) Test. 63 et 64 comiter nobiscum communicavit per litteras A. Garzya.

Vita atque opera

6 Strab. 13, 1, 48 p. 604

συνοικειοῦσι δὲ καὶ τὴν ἱστορίαν εἴτε μῦθον τούτῳ τῷ τόπῳ (i. e. *Χρύσῃ*) *τὴν περὶ τῶν μυῶν. τοῖς γὰρ ἐκ τῆς Κρήτης ἀφιγμένοις Τεύκροις* (*οὓς πρῶτος παρέδωκε Καλλῖνος ὁ τῆς ἐλεγείας ποιητής, ἠκολούθησαν δὲ πολλοί*) *χρησμὸς ἦν, αὐτόθι ποιήσασθαι τὴν μονήν, ὅπου ἂν οἱ γηγενεῖς αὐτοῖς ἐπιθῶνται· συμβῆναι δὲ τοῦτ᾽ αὐτοῖς φασι περὶ Ἀμαξιτόν· νύκτωρ γὰρ πολὺ πλῆθος ἀρουραίων μυῶν ἐξανθῆσαν διαφαγεῖν ὅσα σκύτινα τῶν τε ὅπλων καὶ τῶν χρηστηρίων, τοὺς δὲ αὐτόθι μεῖναι. τούτους δὲ καὶ τὴν Ἴδην ἀπὸ τῆς ἐν Κρήτῃ προσονομάσαι.*

7 Strab. 13, 4, 8 p. 627

φησὶ δὲ Καλλισθένης (FGrHist 124 F 29) *ἁλῶναι τὰς Σάρδεις ὑπὸ Κιμμερίων πρῶτον, εἶθ᾽ ὑπὸ Τρηρῶν καὶ Λυκίων, ὅπερ καὶ Καλλῖνον δηλοῦν τὸν τῆς ἐλεγείας ποιητήν, ὕστατα δὲ τὴν ἐπὶ Κύρου καὶ Κροίσου γενέσθαι ἅλωσιν. λέγοντος δὲ τοῦ Καλλίνου τὴν ἔφοδον τῶν Κιμμερίων ἐπὶ τοὺς Ἠσιονῆας γεγονέναι, καθ᾽ ἣν αἱ Σάρδεις ἑάλωσαν, εἰκάζουσιν οἱ περὶ τὸν Σκήψιον* (Demetr. Sceps. fr. 41 Gaede) *Ἰαστὶ λέγεσθαι Ἠσιονεῖς τοὺς Ἀσιονεῖς· 'τάχα γὰρ ἡ Μῃονία' φησίν 'Ἀσία ἐλέγετο'.*

8 Strab. 14, 1, 40 p. 647

καὶ τὸ παλαιὸν δὲ συνέβη τοῖς Μάγνησιν ὑπὸ Τρηρῶν ἄρδην ἀναιρεθῆναι, Κιμμερικοῦ ἔθνους, εὐτυχήσαντας πολὺν χρόνον, τῷ δὲ ἑξῆς ἔτει Μιλησίους (*τὸ δὲ ἑξῆς Ἐφεσίους* coni. Kramer) *κατασχεῖν τὸν τόπον. Καλλῖνος μὲν οὖν ὡς εὐτυχούντων ἔτι τῶν Μαγνήτων μέμνηται καὶ κατορθούντων ἐν τῷ πρὸς τοὺς Ἐφεσίους πολέμῳ, Ἀρχίλοχος δὲ ἤδη φαίνεται γνωρίζων τὴν γενομένην αὐτοῖς συμφοράν* (19 Tard., 280 Lass.)*.... ἐξ οὗ καὶ αὐτὸν νεώτερον εἶναι τοῦ Καλλίνου τεκμαίρεσθαι πάρεστιν.* quae sequuntur vid. ad fr. 3.

9 Strab. 14, 4, 3 p. 668

φησὶ δ᾽ Ἡρόδοτος (7, 91) *τοὺς Παμφύλους τῶν μετὰ Ἀμφιλόχου καὶ Κάλχαντος εἶναι λαῶν μιγάδων τινῶν ἐκ Τροίας συνακολουθησάντων· τοὺς μὲν δὴ πολλοὺς ἐνθάδε καταμεῖναι, τινὰς δὲ σκεδασθῆναι πολλαχοῦ τῆς γῆς. Καλλῖνος δὲ* (an *Καλλισθένης*? vid. Aly—Sbordone, De Strabonis codice rescripto, Città del Vaticano 1956, 111)

τὸν μὲν Κάλχαντα ἐν Κλάρῳ τελευτῆσαι τὸν βίον φησί, τοὺς δὲ λαοὺς μετὰ Μόψου τὸν Ταῦρον ὑπερθέντας τοὺς μὲν ἐν Παμφυλίᾳ μεῖναι, τοὺς δὲ ἐν Κιλικίᾳ μερισθῆναι καὶ Συρίᾳ μέχρι καὶ Φοινίκης.

10 Paus. 9, 9, 5

ἐποιήθη δὲ ἐς τὸν πόλεμον τοῦτον καὶ ἔπη Θηβαΐς (*Θηβαίοις* codd.: corr. Hemsterh.)· *τὰ δὲ ἔπη ταῦτα Καλλῖνος* (*Καλαῖνος* codd.: corr. Sylb., prob. Davison, Eranos 53, 1955, 136 [= From Archilochos to Pindar 81 s]) *ἀφικόμενος αὐτῶν ἐς μνήμην ἔφησεν Ὅμηρον τὸν ποιήσαντα εἶναι, Καλλίνῳ* (*Καλαίνῳ* codd.: corr. Sylb.) *δὲ πολλοί τε καὶ ἄξιοι λόγου κατὰ ταὐτὰ ἔγνωσαν.*

11 Terent. Maur. VI 376 v. 1721 s Keil

pentametrum dubitant quis primus finxerit auctor. quidam non dubitant dicere Callinoum.

12 Athen. 12, 525 c

ἀπώλοντο δὲ καὶ Μάγνητες οἱ πρὸς τῷ Μαιάνδρῳ διὰ τὸ πλέον ἀνεθῆναι, ὥς φησι Καλλῖνος ἐν τοῖς ἐλεγείοις καὶ Ἀρχίλοχος· ἑάλωσαν γὰρ ὑπ' Ἐφεσίων.

13 Mar. Victor. VI 107, 5 ss Keil

considerantibus nobis, quot ex dactylico heroo per singulos prototyporum canonas metrorum species procreentur, manifesta ratione reperio primam eius veluti subolem a pentametro versu coepisse. unde consequenti ratione initium suscepti operis ab eodem ordiemur. quod metrum invenisse fertur Callinous Ephesius.

14 Phot. Bibl. p. 319 b 6 (V 158 Henry) = Procl. Chrest. I 2, 24 Severyns

οἱ μέντοι μεταγενέστεροι ἐλεγείᾳ πρὸς διαφόρους ὑποθέσεις ἀπεχρήσαντο. λέγει δὲ (*Πρόκλος*) *καὶ ἀριστεῦσαι τῷ μέτρῳ Καλλῖνόν τε τὸν Ἐφέσιον καὶ Μίμνερμον τὸν Κολοφώνιον* (Test. 19), *ἀλλὰ καὶ τὸν τοῦ Τηλέφου Φιλίταν τὸν Κῷον καί Καλλίμαχον τὸν Βάττου.*

15 Fragm. Sangall. VI 639, 14 ss Keil

hic sine ulla dubitatione heroi hexametri suboles est, quem invenisse dicitur Callinus Ephesius.

Vid. etiam Mimn. Test. 19 (canones).

ΚΑΛΛΙΝΟΣ

Ephesius saec. VII med.

ΕΛΕΓΕΙΑ

1 (1 D.)

μέχρις τεῦ κατάκεισθε; κότ' ἄλκιμον ἕξετε θυμόν,
ὦ νέοι; οὐδ' αἰδεῖσθ' ἀμφιπερικτίονας
ὧδε λίην μεθιέντες; ἐν εἰρήνῃ δὲ δοκεῖτε
ἧσθαι, ἀτὰρ πόλεμος γαῖαν ἅπασαν ἔχει.
*
5 καί τις ἀποθνήσκων ὕστατ' ἀκοντισάτω.
τιμῆέν τε γάρ ἐστι καὶ ἀγλαὸν ἀνδρὶ μάχεσθαι
γῆς πέρι καὶ παίδων κουριδίης τ' ἀλόχου

Stob. 4, 10 (ἔπαινος τόλμης), 12, IV 330 H. [SMA] Καλλίνου· [1–21]

1 Ω 128 τέο μέχρις | Tyrt. 7, 17 ἄλκιμον ... θυμόν, Π 264 ἄλκιμον ἦτορ ἔχοντες || 1s Ε 529s ὦ φίλοι, ἀνέρες ἔστε καὶ ἄλκιμον ἦτορ ἕλεσθε, ἀλλήλους τ' αἰδεῖσθε κτλ. || 2 ὦ νέοι Tyrt. 7, 15; 8, 10 | β 65s ἄλλους τ' αἰδέσθητε περικτίονας ἀνθρώπους, οἳ περιναιετάουσι | Theogn. 1058 ἀμφιπερικτίοσιν (in pentam. exeunte) || 3 Ο 553 οὕτω δὴ ... μεθήσομεν, Sol. 8, 2 μήτε λίαν ἀνεθείς || 4 Theogn. 292 γῆν κατὰ πᾶσαν ἔχει (604, in pentam. exeunte) || 5 χ 78 νῦν ὕστατα τοξάσσαιτο (134) || 6s Ο 496s οὔ οἱ ἀεικὲς ἀμυνομένῳ περὶ πάτρης τεθνάμεν, Tyrt. 6, 1s τεθνάμεναι γὰρ καλὸν ... ἄνδρ' ἀγαθὸν περὶ ᾗ πατρίδι μαρνάμενον (6, 13s; 9, 33s, Alc. 400 L.-P. = 400 Voigt, Hor. C. 3, 2, 13 al.) || 6 σ 52 ἀνδρὶ μάχεσθαι (in fine versus et sic Tyrt. 8, 33 ἀνδρὶ μαχέσθω) || 6ss Π 520s οὐδὲ μάχεσθαι ... δυσμενέεσσιν (Τ 232) || 7 Tyrt. 9, 34 γῆς πέρι καὶ παίδων | Α 114 κουριδίης ἀλόχου (ο 356, Η 392, Ν 626 al., Tyrt. 6, 6, Theogn. 1126, Peek, G. V. 1054, 8; 1565 al.)

de Callini historica 'methodo' vid. S. Mazzarino, Il pensiero I 42ss | 'τοῦ αὐτοῦ (i. e. Tyrtaei) ἢ Καλλίνου' Steph., Turn.; inter Tyrtaei fragmenta ediderunt Frob., Wint., Klotz alii (etiam Thiersch, sed vv. 5–21 solum) || 1 τοῦ Cam. alii τέο Fick, Hoffmann, West | καὶ pro κότ' Urs. | ad ἄλκ. θυμόν cf. Sn., Tyrt. 11s | cf. v. 10 || 2 ad elisionem in commissura pentametri admissam vid. p. VIII | de vocabulis heptasyllabis in pentametri fine usurpatis cf. p. VIII; ἀμφιπ., ut videtur (cf. Verdenius 3), Cimmerios significat || 3 μετιέντες Fick, prob. Hoffmann || 4s nullum lacunae indicium in libris, praeter Paris. 1985 (saec. XVI), f. 271r et Regin. gr. 146 (saec. XVI), f. 65r, ubi hexametri unius spatium relinquitur. Buchh., Franckium secutus, lacunam frustra explevit fragmento 3 inserto; alii vero, Bergkio auctore, post v. 4 plures versus intercidisse putaverunt || 6s ad rem vid. Sn., Tyrt. 22

δυσμενέσιν· θάνατος δὲ τότ' ἔσσεται, ὀκκότε κεν δή
Μοῖραι ἐπικλώσωσ'· ἀλλά τις ἰθὺς ἴτω
ἔγχος ἀνασχόμενος καὶ ὑπ' ἀσπίδος ἄλκιμον ἦτορ 10
ἔλσας, τὸ πρῶτον μειγνυμένου πολέμου.
οὐ γάρ κως θάνατόν γε φυγεῖν εἱμαρμένον ἐστίν
ἄνδρ', οὐδ' εἰ προγόνων ᾖ γένος ἀθανάτων.
πολλάκι δηιοτῆτα φυγὼν καὶ δοῦπον ἀκόντων
ἔρχεται, ἐν δ' οἴκῳ μοῖρα κίχεν θανάτου. 15
ἀλλ' ὁ μὲν οὐκ ἔμπης δήμῳ φίλος οὐδὲ ποθεινός,
τὸν δ' ὀλίγος στενάχει καὶ μέγας, ἤν τι πάθῃ·
λαῷ γὰρ σύμπαντι πόθος κρατερόφρονος ἀνδρός
θνῄσκοντος, ζώων δ' ἄξιος ἡμιθέων·
ὥσπερ γάρ μιν πύργον ἐν ὀφθαλμοῖσιν ὁρῶσιν· 20
ἔρδει γὰρ πολλῶν ἄξια μοῦνος ἐών.

8 *Σ* 115s *κῆρα δ' ἐγὼ τότε δέξομαι, ὁππότε κεν δὴ Ζεὺς ἐθέλῃ τελέσαι* (*Ξ* 504, *X* 365 al.) || **9** Plat. Epigr. 6, 2 D. *Μοῖραι ἐπέκλωσαν* (in pentam. ineunte) | *P* 254 *ἀλλά τις αὐτὸς ἴτω* || **9s** *P* 233s *οἱ δ' ἰθὺς . . . ἔβησαν, δούρατ' ἀνασχόμενοι* || **10** *Λ* 594 *δούρατ' ἀνασχόμενοι* (*O* 298, *P* 234 cit., Tyrt. 10, 17) | *P* 111 *ἄλκιμον ἦτορ* (*Y* 169 al., in hexam. exeunte) || **10s** *N* 408 *τῇ* (*ἀσπίδι*) *ὕπο πᾶς ἐάλη* (Tyrt. 8, 23s; 35s) || **11** Alc. 330 L.-P. = 330 Voigt *μείξαντες Ἄρευα* (Soph. O. C. 1047, Verg. G. 2, 282s al.) || **12** *P* 464 *οὐ γάρ πως* (in initio versus) | *B* 401 *θάνατόν τε φυγεῖν* (in eadem versus sede) || **12s** *Z* 488s *μοῖραν δ' οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν . . ., ἐπὴν τὰ πρῶτα γένηται* (Simon. 12 D., Bacchyl. Dith. 24, 7ss, Aesch. fr. 362 N.[2], Eur. fr. 10 N.[2], Hor. C. 3, 2, 14ss) || **14** *Λ* 364 *δοῦπον ἀκόντων* (*Π* 361, *Y* 451, in fine versus) || **15** *P* 478 *θάνατος καὶ μοῖρα κιχάνει* (672, *X* 303. 436 al.), Tyrt. 5, 5 *μοῖρα κίχοι θανάτου* (Mimn. 11, 2, Sol. 23, 18; 26, 4, Theogn. 340, Simon. 135, 2 D., Peek, G. V. 862, 2; 1636) || **16** Peek, G. V. 153, 1s *ἀνδρὶ ποθενο͂ι δάμο͂ι κα̣ὶ πε̣[λάτ]αις* (Locrid., saec. VI/V); 20, 9 al. || **17** *E* 567 *μή τι πάθοι* (*δ* 820 et Ameis ad l.) || **18** *δ* 333 *κρατερόφρονος ἀνδρός* (*ϱ* 124) || **20** *θ* 459 *ἐν ὀφθαλμοῖσιν ὁρῶσα* (*Γ* 306, *N* 99, *O* 286 al.) || **21** *Λ* 514 *ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων* | *β* 365 *μοῦνος ἐών* (*υ* 30, Hes. Cat. fr. 205, 3 Merk.-West)

8 nota *δυσμεν.* traiectionem | *τότ'* Paris. 1985 et Regin. gr. 146 *ποτ'* SMA, receperunt edd. priores *κότ'* dub. Hense coll. 2, 2 | *ὁππότε* SMA: corr. Bach *εὖτέ μιν* (*ἂν δὴ*) Fick || **9** *ἐπικλώσωσ'* recc. *-σωσιν* SMA *-σουσ'* dub. West || **11** rarum *τὸ πρῶτον* cum genetiv. absol.: cf. Aristoph. Plut. 791s (et Holzinger ad l.) | *μιγν-* codd.: corr. Bucherer, probb. edd. || **12s** ad rem cf. R. Lattimore 254ss || **12** *πως* A || **13** *ἦν* pro *εἰ* coni. Br. | *ἢν* Kal. | ad *γένος* accus. relationis cf. *Φ* 187 *γενεὴν μεγάλου Διὸς εὔχομαι εἶναι* || **14s** ad rem cf. *M* 322ss || **15** *ἔρχεται* codd., def. Peppm. *ἔργεται* (i. e. *εἴργεται*) Bgk., Schndw., alii aliter | *μοῖρ' ἔκιχεν θαν.* dub. D. || **16** *ἔμπας* SM, retinuerunt Cam., Bgk. alii || **17** *ὀλίγος* est 'humilis' (cf. Wil., Il. u. Hom. 423, adn. 2) || **18** cf. Tyrt. 9, 28ss cum adn. | *ληῷ* Fick, prob. Hoffmann || **18s** del. Francke || **20** ad rem vid. *η* 70s, ad translatum *πύργ.* cf. *λ* 556, Theogn. 233, Alc. 112, 10 L.-P. = 112, 10 Voigt, Pind. Pyth. 5, 56 al.

⟨ΛΟΓΟΣ ΠΡΟΣ ΔΙΑ⟩

2 (2 D.) ... *Σμυρναίους δ' ἐλέησον,*

*

μνῆσαι δ', εἴ κοτέ τοι μηρία καλὰ βοῶν

3 (3 D.) *νῦν δ' ἐπὶ Κιμμερίων στρατὸς ἔρχεται ὀβριμοεργῶν*

4 (4 D.) *Τρήρεας ἄνδρας ἄγων*

TYRTAEVS

TESTIMONIA VITAE ATQVE ARTIS

Chronographia

1 Strab. 8, 4, 10 p. 362 = Apollod. FGrHist 244 F 334

ἐπὶ μὲν οὖν τοῦ Τυρταίου ὁ δεύτερος ὑπῆρξε πόλεμος, quae praecedunt vid. ad Test. 8.

2 STRAB. 14, 1, 4 p. 633 *αὗται μὲν δώδεκα Ἰωνικαὶ πόλεις, προσελήφθη δὲ χρόνοις ὕστερον καὶ Σμύρνα εἰς τὸ Ἰωνικόν, ἐναγαγόντων Ἐφεσίων· ἦσαν γὰρ αὐτοῖς σύνοικοι τὸ παλαιόν, ἡνίκα καὶ Σμύρνα ἐκαλεῖτο ἡ Ἔφεσος· καὶ Καλλῖνός που οὕτως ὠνόμακεν αὐτήν, Σμυρναίους τοὺς Ἐφεσίους καλῶν ἐν τῷ πρὸς τὸν Δία λόγῳ·* [1] *καὶ πάλιν·* [2] || 3 STRAB. 14, 1, 40 p. 648 *ἄλλης δέ τινος ἐφόδου τῶν Κιμμερίων μέμνηται πρεσβυτέρας ὁ Καλλῖνος, ἐπὰν φῇ·* [1], *ἐν ᾗ τὴν Σάρδεων ἅλωσιν δηλοῖ.* quae praecedunt vid. ad Test. 8 || 4 STEPH. BYZ. 634, 3 *Τρῆρος, χωρίον Θρᾴκης, καὶ Τρῆρες Θρᾴκιον ἔθνος. λέγεται καὶ τρισυλλάβως παρὰ Καλλίνῳ τῷ ποιητῇ·* [1]

2 1s *X* 82ss *τάδε τ' αἴδεο καί μ' ἐλέησον αὐτήν, εἴ ποτέ τοι ..., τῶν μνῆσαι* || 2 *O* 372ss *Ζεῦ πάτερ, εἴ ποτέ τις ... βοὸς ... κατὰ ... μηρία καίων ..., τῶν μνῆσαι καὶ ἄμυνον* (*δ* 763ss) || 4 *Φ* 155 *Παίονας ἄνδρας ἄγων* (=Mimn. 15)

2 ad rem cf. Jac., Kl. Schr. I 262s || 2 *μνήσαι* Koraës in edit. Strab. | post v. 2 ⟨*Σμυρναῖοι κατέκηαν*⟩ edd. plerique, Scal. et Casaub. auctoribus || 3 ad rem cf. Strab. 13, 4, 8 p. 627 (Test. 7), Clem. Alex. Strom. 1, 131, 7s (Test. 2), Aelian. V. H. 14, 46, Athen. 12, 525c (Test. 12) | *ὄβριμος ἔργων* codd.: em. Xyl. ex *E* 403, *X* 418 || 4 *Τρήερας* West | ad *Τρήρ.* cf. W. Tomaschek, Die alten Thraker, Sitzungsb. Akad. Wiss. Wien 128, 1893, 55s

2 Hieronym. Chron. Ol. 36 (96b, 37 Helm)

Myrtaeus (*pro* Tyrtaeus) Atheniensis poeta cognoscitur.
cf. Georg. Syncell. Chronogr. 213c (I 403, 2 Dind.) *Μυρταῖος Ἀθηναῖος ποιητὴς ἐγνωρίζετο.*

3 Suda s. v. *Τυρταῖος* (IV 610, 7 Adler)

ἔστι δὲ παλαίτατος, σύγχρονος τοῖς ἑπτὰ κληθεῖσι σοφοῖς, ἢ καὶ παλαίτερος. ἤκμαζε γοῦν κατὰ τὴν λε' Ὀλυμπιάδα (640). quae praecedunt vid. ad Test. 19.

Vita et opera

4 Peek, G. V. 749 (Acarnan., saec. III)

τὸμ Μούσαις, ὦ ξεῖνε, τετιμένον ἐνθάδε κρύπτει
Τιμόκριτογ κόλπωι κυδιάνειρα κόνις.
Αἰτωλῶν γὰρ παισὶ πάτρας ὕπερ εἰς ἔριν ἐλθὼν
ὠγαθὸς ἢ νικᾶν ἤθελε⟨ν⟩ ἢ τεθνάναι·
πίπτει δ' ἐμ προμάχοισι λιπὼμ πατρὶ μύριον ἄλγος,
ἀλλὰ τὰ παιδείας οὐκ ἀπέκρυπτε καλά·
Τυρταίου δὲ Λάκαιναν ἐνὶ στέρνοισι φυλάσσων
ῥῆσιν τὰν ἀρετὰν εἵλετο πρόσθε βίου.

5 Plat. Leg. 1 p. 629b

ἈΘ. ταῦτα γὰρ ἀκήκοάς που καὶ σὺ τὰ ποιήματα (scil. *Τυρταίου*)· *ὅδε μὲν γὰρ οἶμαι διακορὴς αὐτῶν ἐστι.*
ΜΕ. πάνυ μὲν οὖν.
ΚΛ. καὶ μὴν καὶ παρ' ἡμᾶς ἐλήλυθε κομισθέντα ἐκ Λακεδαίμονος.

6 Lycurg. Leocr. 106s

κατέλιπεν γὰρ αὐτοῖς ἐλεγεῖα ποιήσας, ὧν ἀκούοντες παιδεύονται πρὸς ἀνδρείαν· καὶ περὶ τοὺς ἄλλους ποιητὰς οὐδένα λόγον ἔχοντες, περὶ τούτου οὕτω σφόδρα ἐσπουδάκασιν, ὥστε νόμον ἔθεντο, ὅταν ἐν τοῖς ὅπλοις ἐξεστρατευμένοι (*ἐκστρ.* codd.: corr. van Es) *ὦσι* (*εἰσὶν* codd.: corr. Becker), *καλεῖν ἐπὶ τὴν τοῦ βασιλέως σκηνὴν ἀκουσομένους τῶν Τυρταίου ποιημάτων ἅπαντας, νομίζοντες οὕτως ἂν αὐτοὺς μάλιστα πρὸ τῆς πατρίδος ἐθέλειν ἀποθνῄσκειν.* sequitur Test. fr. 6.

7 Aristot. Pol. 5, 6 p. 1306 b 22ss

ἐν δὲ ταῖς ἀριστοκρατίαις γίνονται αἱ στάσεις ..., ἔτι ὅταν οἱ μὲν ἀπορῶσι λίαν, οἱ δ' εὐπορῶσι – καὶ μάλιστα ἐν τοῖς πολέμοις τοῦτο γίνεται· συνέβη δὲ καὶ τοῦτο ἐν Λακεδαίμονι ὑπὸ τὸν Μεσηνιακὸν πόλεμον· δῆλον δὲ τοῦτο ἐκ τῆς Τυρταίου ποιήσεως τῆς καλουμένης Εὐνομίας· θλιβόμενοι γάρ τινες διὰ τὸν πόλεμον ἠξίουν ἀνάδαστον ποιεῖν τὴν χώραν.

8 Strab. 8, 4, 10 p. 362

πλεονάκις δ' ἐπολέμησαν διὰ τὰς ἀποστάσεις τῶν Μεσσηνίων. τὴν μὲν οὖν πρώτην κατάκτησιν αὐτῶν φησι Τυρταῖος ἐν τοῖς ποιήμασιν κατὰ τοὺς τῶν πατέρων πατέρας γενέσθαι (cf. fr. 4, 3)· *τὴν δὲ δευτέραν, καθ' ἣν ἑλόμενοι συμμάχους Ἀργείους τε καὶ* †*Ἠλείους* (*Ἀρκάδας* Kramer, *Ἠλείους* ⟨*καὶ Ἀρκάδας*⟩ Koraës) *καὶ Πισάτας ἀπέστησαν, Ἀρκάδων μὲν Ἀριστοκράτην τὸν Ὀρχομενίων βασιλέα παρεχομένων στρατηγόν, Πισατῶν δὲ Πανταλέοντα τὸν Ὀμφαλίωνος, ἡνίκα φησὶν αὐτὸς στρατηγῆσαι τὸν πόλεμον τοῖς Λακεδαιμονίοις* ⟨*ἐλθὼν ἐξ Ἐρινεοῦ*⟩ (e coni. Casaub. suppl. Koraës et Meineke). *καὶ γὰρ εἶναί φησιν ἐκεῖθεν ἐν τῇ ἐλεγείᾳ, ἣν ἐπιγράφουσιν Εὐνομίαν·* [fr. 1[a], 12 – 15] ..., *ὥστ' ἢ ταῦτα ἀκυρωτέον* (*ἠκύρωται* codd.: corr. Porson) *τὰ ἐλεγεῖα, ἢ Φιλοχόρῳ* (FGrHist 328 F 215) *ἀπιστητέον τῷ φήσαντι Ἀθηναῖόν τε καὶ Ἀφιδναῖον, καὶ Καλλισθένει* (FGrHist 124 F 24) *καὶ ἄλλοις πλείοσι τοῖς εἰποῦσιν ἐξ Ἀθηνῶν ἀφικέσθαι, δεηθέντων Λακεδαιμονίων κατὰ χρησμόν, ὃς ἐπέταττε παρ' Ἀθηναίων λαβεῖν ἡγεμόνα. ἐπὶ μὲν οὖν τοῦ Τυρταίου ὁ δεύτερος ὑπῆρξε πόλεμος.*

9 Strab. 8, 5, 6 p. 366

καὶ ὑποβὰς (scil. *Εὐριπίδης*) *τῶν πάλων φησὶν ὧν οἱ Ἡρακλεῖδαι περὶ τῆς χώρας ἐποιήσαντο τὸν μὲν πρότερον γενέσθαι 'γαίας Λακαίνης κύριον, φαύλου χθονός', τὸν δὲ δεύτερον τῆς Μεσσήνης 'ἀρετὴν ἐχούσης μείζον' ἢ λόγῳ φράσαι'. οἵαν καὶ ὁ Τυρταῖος φράζει.*

10 Dio Chrys. Or. 36, 10 (II 3, 31 Arnim, II 4, 25 De Budé)

μόνου γὰρ Ὁμήρου μνημονεύουσιν οἱ ποιηταὶ αὐτῶν ἐν τοῖς ποιήμασιν, καὶ ἄλλως μὲν εἰώθασι λέγειν, ἀεὶ δὲ ὁπόταν μέλλωσι μάχεσθαι παρακελεύονται τοῖς αὐτῶν ὥσπερ τὰ Τυρταίου ἐν Λακεδαίμονι ἐλέγετο (*παρακελ. ... ἐλέγετο* secl. Cob.).

11 Athen. 14, 630f

πολεμικοὶ δ' εἰσὶν οἱ Λάκωνες, ὧν καὶ οἱ υἱοὶ τὰ ἐμβατήρια μέλη ἀναλαμβάνουσιν, ἅπερ καὶ ἐνόπλια καλεῖται. καὶ αὐτοὶ δ' οἱ Λάκωνες ἐν τοῖς πολέμοις τὰ Τυρταίου ποιήματα ἀπομνημονεύοντες ἔρρυθμον κίνησιν ποιοῦνται. Φιλόχορος δέ (FGrHist 328 F 216) *φησιν κρατήσαντας Λακεδαιμονίους Μεσσηνίων διὰ τὴν Τυρταίου στρατηγίαν ἐν ταῖς στρατείαις ἔθος ποιήσασθαι, ἂν δειπνοποιήσωνται καὶ παιωνίσωσιν, ᾄδειν καθ' ἕνα ⟨τὰ⟩* (add. Kaib.) *Τυρταίου· κρίνειν δὲ τὸν πολέμαρχον καὶ ἆθλον διδόναι τῷ νικῶντι κρέας.*

12 Paus. 4, 15, 2

ἐν δὲ Λακεδαίμονι οἵτινες τηνικαῦτα ἔτυχον βασιλεύοντες, Τυρταῖος μὲν τὰ ὀνόματα οὐκ ἔγραψε, Ῥιανὸς δὲ (FGrHist 265 F 43) *ἐποίησεν ἐν τοῖς ἔπεσι Λεωτυχίδην βασιλέα ἐπὶ τοῦδε εἶναι τοῦ πολέμου. Ῥιανῷ μὲν οὖν ἔγωγε οὐδαμῶς κατά γε τοῦτο συνθήσομαι· Τυρταῖον δὲ καὶ οὐ λέγοντα ὅμως εἰρηκέναι τις ἂν ἐν τῷδε ἡγοῖτο· ἐλεγεῖα γὰρ ἐς τὸν πρότερόν ἐστιν αὐτῷ πόλεμον* [fr. 4, 1 – 3]. *δῆλα οὖν ἐστιν ὡς ὕστερον τρίτῃ γενεᾷ τὸν πόλεμον οἱ Μεσσήνιοι τόνδε ἐπολέμησαν …*

13 Paus. 4, 16, 6

Λακεδαιμονίων δὲ ἐχόντων ἀθύμως μετὰ τὴν πληγὴν καὶ ὡρμημένων καταθέσθαι τὸν πόλεμον, Τυρταῖός τε ἐλεγεῖα ᾄδων μετέπειθεν αὐτούς, καὶ ἐς τοὺς λόχους ἀντὶ τῶν τεθνεώτων κατέλεγεν ἄνδρας ἐκ τῶν εἱλώτων.

14 Paus. 4, 18, 2

καὶ ἐποιήσαντο οἱ Λακεδαιμόνιοι δόγμα, ἅτε τοῖς ἐν τῇ Εἵρᾳ μᾶλλον ἢ σφίσιν αὐτοῖς γεωργοῦντες, τὴν Μεσσηνίαν καὶ τῆς Λακωνικῆς τὴν προσεχῆ, ἕως ἂν πολεμῶσιν, ἐᾶν ἄσπορον. καὶ ἀπὸ τούτου σιτοδεία ἐγένετο ἐν Σπάρτῃ καὶ ὁμοῦ τῇ σιτοδείᾳ στάσις· οὐ γὰρ ἠνείχοντο οἱ ταύτῃ τὰ κτήματα ἔχοντες τὰ σφέτερα ἀργὰ εἶναι. καὶ τούτοις μὲν τὰ διάφορα διέλυε Τυρταῖος.

15 Pollux 4, 107

τριχορίαν δὲ Τυρταῖος ἔστησε, τρεῖς Λακώνων χορούς, καθ' ἡλικίαν ἑκάστην, παῖδας ἄνδρας γέροντας.

16 Harpocr. Lex. s. v. *Τυρταῖος* (295, 9 Dind.)

Λυκοῦργος ἐν τῷ κατὰ Λεωκράτους· ὁ τῶν ἐλεγείων ποιητής.

17 Maxim. Tyr. 37, 5 (432 Hobein)

καὶ Σπαρτιάτας ἤγειρε τὰ Τυρταίου ἔπη.

18 Euseb. Praep. Ev. 5, 28, 1

ἀλλὰ σὺ τὸν Τυρταίου προκαθηγεμόνα καὶ σκοπὸν ἐλθόντα ποτὲ ὡς σὲ ἥκειν ἔφης ἐκ κοίλης Λακεδαίμονος 'Ζηνὶ φίλον καὶ πᾶσιν Ὀλύμπια δώματ' ἔχουσι', δίζησθαί τε ἢ θεὸν αὐτὸν μαντεύσῃ ἢ ἄνθρωπον, ἀλλ' ἔτι καὶ μᾶλλον θεόν, ὅτι ἦλθεν εὐνομίην αἰτήσων. καὶ πῶς, εἰ θεός, οὐκ ἠπίστατό πω νόμον πολιτικὸν ὁ φίλος τοῦ Διὸς καὶ πάντων τῶν Ὀλυμπίων; cf. Oenom. fr. 10 Mull. (FPhG II 370).

19 Suda s. v. *Τυρταῖος* (IV 610, 5 Adler)

Τυρταῖος Ἀρχεμβρότου, Λάκων ἢ Μιλήσιος ἐλεγειοποιὸς καὶ αὐλητής· ὃν λόγος τοῖς μέλεσι χρησάμενον παροτρῦναι Λακεδαιμονίους πολεμοῦντας Μεσσηνίοις καὶ ταύτῃ ἐπικρατεστέρους ποιῆσαι... ἔγραψε πολιτείαν Λακεδαιμονίοις, καὶ ὑποθήκας δι' ἐλεγείας, καὶ μέλη πολεμιστήρια, βιβλία ε'.

20 Tzetz. Chil. 1, 692ss

Τυρταῖος Λάκων στρατηγὸς καὶ ποιητὴς ὑπῆρχεν, / προτρεπτικὰ πρὸς πόλεμον γράψας ᾀσμάτων μέλη, / ἅπερ ᾖδον οἱ Λάκωνες ἐν συμβολαῖς πολέμων, / πυρρίχιον ὀρχούμενοι τοῖς νόμοις τοῦ Λυκούργου.

21 Eust. in Il. p. 386, 2ss

τοιαῦτα ὁ λόγος δύναται. τοιοῦτον ἡ ἱστορία καὶ τὸν Τυρταῖον οἶδε ῥήτορα, οἷον ἐρεθίζειν προθύμως ἀποκινδυνεύειν εἰς πόλεμον, καὶ ὁ ἐντυχὼν ἔπεσιν ἐκείνου εἴσεται ὅπως ἐνθουσιᾷ τῷ εἰς μάχην ἐγερτικῷ.

22 Anonym. in Aristot. Eth. Nic. 3 p. 1116b 1 (Comment. in Aristot. Gr. XX 165, 1 Heylbut)

τοῦτο περὶ Λακεδαιμονίων λέγοι ἄν· τοιαύτην γάρ τινα μάχην, ὅτε πρὸς Μεσσηνίους ἐμαχέσαντο (scil. *οἱ Λακεδαιμόνιοι*), *ἐπολέμουν, ἧς καὶ ὁ Τυρταῖος μνημονεύει.*

Veterum iudicia

23 Plat. Leg. 1 p. 629b–e

ΑΘ. ἴθι δὴ νῦν ἀνερώμεθα κοινῇ τουτονὶ τὸν ποιητὴν οὑτωσί πως· ὦ Τυρταῖε, ποιητὰ θειότατε — δοκεῖς γὰρ δὴ σοφὸς ἡμῖν εἶναι καὶ

ἀγαθός, ὅτι τοὺς μὲν ἐν τῷ πολέμῳ διαφέροντας διαφερόντως ἐγκεκωμίακας — ἤδη οὖν τυγχάνομεν ἐγώ τε καὶ ὅδε καὶ Κλεινίας ὁ Κνώσιος οὑτοσὶ συμφερόμενοί σοι περὶ τούτου σφόδρα, ὡς δοκοῦμεν· εἰ δὲ περὶ τῶν αὐτῶν λέγομεν ἀνδρῶν ἢ μή, βουλόμεθα σαφῶς εἰδέναι. λέγε οὖν ἡμῖν· ἆρα εἴδη δύο πολέμου καθάπερ ἡμεῖς ἡγῇ καὶ σὺ σαφῶς; ἢ πῶς; πρὸς ταῦτ' οἶμαι κἂν πολὺ φαυλότερος εἴποι Τυρταίου τις τἀληθές, ὅτι δύο, τὸ μὲν ὃ καλοῦμεν ἅπαντες στάσιν, ὃς δὴ πάντων πολέμων χαλεπώτατος, ὡς ἔφαμεν ἡμεῖς νῦν δή· τὸ δὲ ἄλλο πολέμου θήσομεν οἶμαι γένος ἅπαντες ᾧ πρὸς τοὺς ἐκτός τε καὶ ἀλλοφύλους χρώμεθα διαφερόμενοι, πολὺ πραότερον ἐκείνου.

ΚΛ. πῶς γὰρ οὔ;

ΑΘ. φέρε δή, ποτέρους, καὶ πρὸς πότερον ἐπαινῶν τὸν πόλεμον, οὕτως ὑπερεπῄνεσας, τοὺς δὲ ἔψεξας τῶν ἀνδρῶν; ἔοικας μὲν γὰρ πρὸς τοὺς ἐκτός· εἴρηκας γοῦν ὧδε ἐν τοῖς ποιήμασιν, ὡς οὐδαμῶς τοὺς τοιούτους ἀνεχόμενος, οἳ μὴ τολμήσωσιν μὲν ὁρᾶν φόνον αἱματόεντα καὶ δηίων ὀρέγοιντ' ἐγγύθεν ἱστάμενοι (cf. 9, 11 s). *οὐκοῦν τὰ μετὰ ταῦτα εἴποιμεν ἂν ἡμεῖς ὅτι σὺ μὲν ἐπαινεῖς, ὡς ἔοικας, ὦ Τυρταῖε, μάλιστα τοὺς πρὸς τὸν ὀθνεῖόν τε καὶ ἔξωθεν πόλεμον γιγνομένους ἐπιφανεῖς — φαίη ταῦτ' ἄν που καὶ ὁμολογοῖ;*
ΚΛ. τί μήν;

24 Plat. Leg. 1 p. 630c

ἣν (scil. *ἀρετήν*) *δ' αὖ Τυρταῖος ἐπῄνεσεν μάλιστα, καλὴ μὲν καὶ κατὰ καιρὸν κεκοσμημένη τῷ ποιητῇ, τετάρτη μέντοι ὅμως ἀριθμῷ τε καὶ δυνάμει τοῦ τιμία εἶναι λέγοιτ' ἂν ὀρθότατα.*

25 Plat. Leg. 2 p. 666e—667a

λαβὼν δ' ὑμῶν οὐδεὶς τὸν αὑτοῦ, παρὰ τῶν συννόμων σπάσας σφόδρα ἀγριαίνοντα καὶ ἀγανακτοῦντα, ἱπποκόμον τε ἐπέστησεν ἰδίᾳ καὶ παιδεύει ψήχων τε καὶ ἡμερῶν, καὶ πάντα προσήκοντα ἀποδιδοὺς τῇ παιδοτροφίᾳ, ὅθεν οὐ μόνον ἀγαθὸς ἂν στρατιώτης εἴη, πόλιν δὲ καὶ ἄστη δυνάμενος διοικεῖν, ὃν δὴ κατ' ἀρχὰς εἴπομεν τῶν Τυρταίου πολεμικῶν εἶναι πολεμικώτερον, τέταρτον ἀρετῆς ἀλλ' οὐ πρῶτον τὴν ἀνδρείαν κτῆμα τιμῶντα ἀεὶ καὶ πανταχοῦ, ἰδιώταις τε καὶ συμπάσῃ πόλει.

26 Plat. Leg. 9 p. 858e

ΑΘ. ἀλλὰ αἰσχρὸν δὴ μᾶλλον Ὁμήρῳ τε καὶ Τυρταίῳ καὶ τοῖς ἄλλοις ποιηταῖς περὶ βίου τε καὶ ἐπιτηδευμάτων κακῶς θέσθαι γρά-

ψαντας, Λυκούργῳ δὲ ἧττον καὶ Σόλωνι καὶ ὅσοι δὴ νομοθέται γενόμενοι γράμματα ἔγραψαν;

27 Hor. Ars poet. 401 s

post hos insignis Homerus / Tyrtaeusque mares animos in Martia bella / versibus exacuit.

28 Plut. Cleom. 23 (2), 4

Λεωνίδαν μὲν γὰρ τὸν παλαιὸν λέγουσιν ἐπερωτηθέντα, ποῖός τις αὐτῷ φαίνεται ποιητὴς γεγονέναι Τυρταῖος, εἰπεῖν 'ἀγαθὸς νέων ψυχὰς κακκανῆν'. ἐμπιπλάμενοι γὰρ ὑπὸ τῶν ποιημάτων ἐνθουσιασμοῦ παρὰ τὰς μάχας ἠφείδουν ἑαυτῶν.

29 Ps.-Plut. Apophth. Lac. p. 235 e

ἐρωτηθεὶς Λάκων ὁποῖός ἐστι Τυρταῖος ὁ ποιητής, 'ἀγαθὸς' εἶπε 'κακκονῆν νέων ψυχάς'.

30 Plut. De sollertia anim. 1 p. 959 a

τὸν Τυρταῖον ὁ Λεωνίδας ἐρωτηθεὶς ποῖόν τινα νομίζοι ποιητήν, 'ἀγαθὸν' ἔφη 'νέων ψυχὰς κακκονῆν', ὡς τοῖς νέοις διὰ τῶν ἐπῶν ὁρμὴν ἐμποιοῦντα μετὰ θυμοῦ καὶ φιλοτιμίας, ἐν ταῖς μάχαις ἀφειδοῦσιν αὐτῶν.

31 Ps.-Plut. Pro nob. 2 (VII 200 Bern.)

ὁ δὲ Τυρταῖος τοὺς αὐτοῦ στρατιώτας εἰς πόλεμον παρακαλούμενος 'γενεαὶ Ἡρακλέους ἀνικήτου' (cf. 8, 1) *φησὶν αὐτούς. ποσάκις παρὰ Σιμωνίδῃ, Πινδάρῳ, Ἀλκαίῳ, Ἰβύκῳ, Στησιχόρῳ ἡ εὐγένεια ἐν λόγου καὶ τιμῆς μέρει ἐστί;*

32 Quint. 10, 1, 56

quid? Horatius frustra Tyrtaeum Homero subiungit?

33 Quint. 12, 11, 27

neque enim, si quis Achillis gloriam in rebus bellicis consequi non potest, Aiacis aut Diomedis laudem aspernabitur, nec, qui Homeri non fuerunt, non fuerunt Tyrtaei.

34 Dio Chrys. Or. 2, 29 (I 22, 31 Arnim, I 28, 9 De Budé)

καὶ ὁ Ἀλέξανδρος γοργὸν ἐμβλέψας ὥσπερ λέων, ἐγὼ μέν, εἶπεν, ὦ πάτερ, οἶμαι πρέπειν πολλὰ τῶν Ὁμήρου ἐπῶν πρὸς σάλπιγγα ᾄδεσθαι,

μὰ Δί' οὐ τὴν ἀνακαλοῦσαν, ἀλλὰ τὴν ἐποτρύνουσαν καὶ παρακελευομένην, οὐχ ὑπὸ γυναικείου χοροῦ λεγόμενα ἢ παρθένων, ἀλλ' ὑπὸ φάλαγγος ἐνόπλου, πολὺ μᾶλλον ἢ τὰ Τυρταίου παρὰ τοῖς Λάκωσιν.

35 Galen. De plac. Hippocr. et Plat. 3, 281 Müller (= Stoic. vet. fr. II 255, 30 Arnim)

ἐμπλήσας ὁ Χρύσιππος ὅλον τὸ βιβλίον ἐπῶν Ὁμηρικῶν καὶ Ἡσιοδείων καὶ Στησιχορείων, Ἐμπεδοκλείων τε καὶ Ὀρφικῶν, ἔτι δὲ πρὸς τούτοις ἐκ τῆς τραγῳδίας καὶ παρὰ Τυρταίου καὶ τῶν ἄλλων ποιητῶν οὐκ ὀλίγα παραθέμενος, εἶτα ... ταῦτα κατὰ λέξιν ἐπιφέρει κτλ.

36 Galen. De plac. Hippocr. et Plat. 3, 274 Müller (= Stoic. vet. fr. II 255, 16 Arnim)

ὥσπερ γὰρ ἐξ Ὁμήρου καὶ Ἡσιόδου βραχέα παρεθέμην ὀλίγῳ πρόσθεν ὧν ὁ Χρύσιππος ἔγραψεν, οὕτως ἐξ Ὀρφέως καὶ Ἐμπεδοκλέους καὶ Τυρταίου καὶ Στησιχόρου καὶ Εὐριπίδου καὶ ἑτέρων ποιητῶν ἐπῶν μνημονεύει παμπόλλων ὁμοίαν ἐχόντων ἀτοπίαν. quae sequuntur vid. ad Test. fr. 11.

37 Aelian. H. A. 6, 1

οἱ δὲ ἐλέφαντες ... οὐ δέονται τοῦ προσᾴσοντος καὶ ἐροῦντος 'οὐχ ἕδρας ἔργον οὐδ' ἀμβολᾶς', οὐδὲ μὴν τὰ Τυρταίου μέτρα ἀναμένουσι.

38 Schol. Dionys. Thrac. Art. gramm. (Gramm. Gr. III 1, 168, 8 Hilgard)

ποιητὴς δὲ κεκόσμηται τοῖς τέσσαρσι τούτοις, μέτρῳ, μύθῳ, ἱστορίᾳ καὶ ποιᾷ λέξει, καὶ πᾶν ποίημα μὴ μετέχον τῶν τεσσάρων τούτων οὐκ ἔστι ποίημα· ἀμέλει τὸν Ἐμπεδοκλέα καὶ τὸν Τυρταῖον (sic codd., deff. Kaib. et Gigante: *Πύθιον* coni. Stadtm.) *καὶ τοὺς περὶ ἀστρολογίας εἰπόντας οὐ καλοῦμεν ποιητάς, εἰ καὶ μέτρῳ ἐχρήσαντο, διὰ τὸ μὴ χρήσασθαι αὐτοὺς τοῖς τῶν ποιητῶν χαρακτηριστικοῖς.* cf. Anecd. Gr. II 734, 14 Bekker *ἀμέλει τὸν Ἐμπεδοκλέα καὶ Τυρταῖον οὐ καλοῦσι ποιητάς, εἰ καὶ μέτρῳ ἐχρήσαντο, διὰ τὸ μὴ χρήσασθαι αὐτοὺς τοῖς τῶν ποιητῶν χαρακτηριστικοῖς.*

39 Diog. Laert. 2, 43

οὐ μόνον δ' ἐπὶ Σωκράτους Ἀθηναῖοι πεπόνθασι τοῦτο (scil. *ἀδίκως αἰτιᾶσθαι*), *ἀλλὰ καὶ ἐπὶ πλείστων ὅσων. καὶ γὰρ Ὅμηρον, καθά φησιν*

Ἡρακλείδης (fr. 169 Wehrli), *πεντήκοντα δραχμαῖς ὡς μαινόμενον ἐζημίωσαν* (v. l. *ἐτίμησαν*), *καὶ Τυρταῖον παρακόπτειν ἔλεγον*

40 Themist. Or. 15, 198c

λέγω οὖν παραστησάμενος τὸν Τυρταῖον καὶ τὸν Τυρταίου μεγαλοφωνότερον Ὅμηρον.

41 Procl. in Plat. Remp. (I 186s Kroll)

τοιαύτην γάρ που καὶ τὴν Θεόγνιδος ποιητικὴν εἶναί φησιν ὁ Ἀθηναῖος ξένος (Leg. 1, 630a), *ἣν ἐγκωμιάζει τῆς Τυρταίου μειζόνως, διότι τῆς ὅλης ἀρετῆς ἐστιν ὁ Θέογνις διδάσκαλος καὶ τῆς εἰς ἅπασαν διατεινούσης τὴν πολιτικὴν ζωήν.*

42 Schol. *O* 496–498a (IV 109, 52 Erbse)

κάλλιον ταῦτα τοὺς νέους ἀναγινώσκειν (*ἐν βραχεῖ* ⟨*γὰρ*⟩ *καὶ δυνατῶς καὶ κατὰ τάξιν*) *ἢ ἃ Τυρταῖος Λακεδαιμονίοις ἔγραψε.*

Tyrtaei fabula

43 Plat. Leg. 1 p. 629a

προστησώμεθα γοῦν Τυρταῖον, τὸν φύσει μὲν Ἀθηναῖον, τῶνδε (scil. *τῶν Λακεδαιμονίων*) *δὲ πολίτην γενόμενον.*

44 Lycurg. Leocr. 106

τίς γὰρ οὐκ οἶδε τῶν Ἑλλήνων ὅτι Τυρταῖον στρατηγὸν ἔλαβον παρὰ τῆς πόλεως, μεθ᾽ οὗ καὶ τῶν πολεμίων ἐκράτησαν, καὶ τὴν περὶ τοὺς νέους ἐπιμέλειαν συνετάξαντο οὐ μόνον εἰς τὸν παρόντα κίνδυνον, ἀλλ᾽ εἰς ἅπαντα τὸν αἰῶνα βουλευσάμενοι καλῶς; sequitur Test. 6.

45 Philodem. De mus. 17, 3 (28 Kemke)

τὸ δὲ Τυρταῖον αὐτοὺ[*ς* (scil. *τοὺς Λακεδαιμονίους*) *προσει*]*ληφέναι καὶ προτετιμ*[*ηκέ*]*ναι διὰ μουσικὴν ἀνισ*[*τόρη*]*τον ἔοικεν εἶναι, πάντω*[*ν* ...] *μὲν σχεδὸν ὁμολογούν*[*των*] *κατὰ χρησμὸν αὐτὸν ἐξ Ἀ*[*θη*]*νῶν μεταπεπέμφθαι* ...

46 Diod. 8, 27, 1s

οἱ Σπαρτιᾶται ὑπὸ Μεσσηνίων ἡττηθέντες εἰς Δελφοὺς πέμψαντες ἠρώτων περὶ πολέμου. ἔχρησε δὲ αὐτοῖς παρὰ Ἀθηναίων λαβεῖν ἡγεμόνα. οἱ Λακεδαιμόνιοι προτραπέντες ὑπὸ Τυρταίου οὕτω προ-

θύμως εἶχον πρὸς παράταξιν, ὥστε μέλλοντες παρατάττεσθαι τὰ ὀνόματα σφῶν αὐτῶν ἐγράψαντο εἰς σκυταλίδα καὶ ἐξῆψαν ἐκ τῆς χειρός, ἵνα τελευτῶντες μὴ ἀγνοῶνται ὑπὸ τῶν οἰκείων. οὕτω παρέστησαν ταῖς ψυχαῖς ἕτοιμοι πρὸς τὸ τῆς νίκης ἀποτυγχάνοντες ἑτοίμως ἐπιδέχεσθαι τὸν ἔντιμον θάνατον.

47 Diod. 15, 66, 3

ὕστερον δὲ δουλευόντων Μεσσηνίων τοῖς Λακεδαιμονίοις, Ἀριστομένης ἔπεισε τοὺς Μεσσηνίους ἀποστῆναι τῶν Σπαρτιατῶν, καὶ πολλὰ κακὰ διειργάσατο τοὺς Σπαρτιάτας, ὅτε καὶ Τυρταῖος ὁ ποιητὴς ὑπὸ Ἀθηναίων ἡγεμὼν ἐδόθη τοῖς Σπαρτιάταις.

48 Ps.-Plut. Apophth. Lac. p. 230d

πυνθανομένου δέ τινος, διὰ τί Τυρταῖον τὸν ποιητὴν ἐποιήσαντο πολίτην, 'ὅπως' ἔφη (scil. *Παυσανίας*) *'μηδέποτε ξένος φαίνηται ἡμῶν ἡγεμών'.*

49 Aristid. Or. 33, 425 (I 639 Dind.)

καὶ τὰ τελευταῖα Κίμωνος εἰς Ἰθώμην ἄφιξις καὶ Τυρταίου πρὸ Κίμωνος εἰς Σπάρτην.

50 Paus. 4, 15, 6

ἐγένετο δὲ καὶ Λακεδαιμονίοις μάντευμα ἐκ Δελφῶν τὸν Ἀθηναῖον ἐπάγεσθαι σύμβουλον. ἀποστέλλουσιν οὖν παρὰ τοὺς Ἀθηναίους τόν τε χρησμὸν ἀπαγγελοῦντας καὶ ἄνδρα αἰτοῦντας παραινέσοντα ἃ χρή σφισιν. Ἀθηναῖοι δὲ οὐδέτερα θέλοντες, οὔτε Λακεδαιμονίους ἄνευ μεγάλων κινδύνων προσλαβεῖν μοῖραν τῶν ἐν Πελοποννήσῳ τὴν ἀρίστην οὔτε αὐτοὶ παρακοῦσαι τοῦ θεοῦ, πρὸς ταῦτα ἐξευρίσκουσι καὶ — ἦν γὰρ Τυρταῖος διδάσκαλος γραμμάτων νοῦν τε ἥκιστα ἔχειν δοκῶν καὶ τὸν ἕτερον τῶν ποδῶν χωλός — τοῦτον ἀποστέλλουσιν ἐς Σπάρτην. ὁ δὲ ἀφικόμενος ἰδίᾳ τε τοῖς ἐν τέλει καὶ συνάγων ὁπόσους τύχοι καὶ τὰ ἐλεγεῖα καὶ τὰ ἔπη σφίσι τὰ ἀνάπαιστα ᾖδεν.

51 Paus. 4, 16, 2

Τυρταῖος δὲ καὶ οἱ τῶν θεῶν ἱεροφάνται τῶν μεγάλων ἔργου μὲν ἥπτοντο οὐδενός, τοὺς τελευταίους δὲ τῆς ἑαυτῶν ἑκάτεροι στρατιᾶς ἐπήγειρον.

52 Polyaen. 1, 17

Τυρταῖος, Λακεδαιμονίων μελλόντων παρατάττεσθαι Μεσηνίοις καὶ βεβουλευμένων νικᾶν ἢ ἀποθανεῖν ἐν τῇ μάχῃ, ἵνα δὲ ὑπὸ τῶν οἰκείων ἐν τῇ τῶν νεκρῶν ἀναιρέσει γνωρίζοιτο ἕκαστος, ἐπὶ {*τὰς*} (del. Hertlein) *σκυταλίδας τοὔνομα γραψάντων καὶ περὶ τῇ λαιᾷ χειρὶ φερόντων, βουλόμενος ἐκπλῆξαι τοὺς Μεσηνίους τοῦτο μαθόντας παρήγγειλε μὴ παρατηρεῖν τοὺς αὐτομολοῦντας εἵλωτας. οἱ δὲ μηδενὸς παραφυλάττοντος ἀνέδην αὐτομολήσαντες ἤγγειλαν τοῖς Μεσηνίοις τὴν ἀπόνοιαν τὴν Λακωνικήν. οἱ δὲ καταπλαγέντες ἀσθενέστερον ἀγωνισάμενοι τὴν νίκην οὐ διὰ μακροῦ Λακεδαιμονίοις ἔδωκαν.*

53 Ampel. Lib. mem. 14 (27 Assmann)

Tyrtaeus qui Messenio bello ex oraculo Apollinis dux ab Atheniensibus per ludibrium missus poemate suo ita militum animos concitavit, ut tam diuturnum proelium victoria consummarent.

54 Aelian. V. H. 12, 50

εἰ δέ ποτε ἐδεήθησαν (scil. *οἱ Λακεδαιμόνιοι*) *τῆς ἐκ Μουσῶν ἐπικουρίας ἢ νοσήσαντες ἢ παραφρονήσαντες ἢ ἄλλο τι τοιοῦτον δημοσίᾳ παθόντες, μετεπέμποντο ξένους ἄνδρας οἷον ἰατροὺς ἢ καθαρτὰς κατὰ πυθόχρηστον. μετεπέμψαντό γε μὴν Τέρπανδρον καὶ Θάλητα καὶ Τυρταῖον καὶ τὸν Κυδωνιάτην Νυμφαῖον καὶ Ἀλκμᾶνα.*

55 Iustin. 3, 5

Lacedaemonii de belli eventu oraculo Delphis consulto iubentur ducem belli ab Atheniensibus petere. porro Athenienses, cum responsum cognovissent, in contemptum Spartanorum Tyrtaeum, poetam claudo pede, misere. qui tribus proeliis fusos (*v. l.* fusus) eo usque desperationis Spartanos adduxit, ut servos suos ad supplementum exercitus manumitterent hisque interfectorum matrimonia pollicerentur, ut non numero tantum amissorum civium, sed et dignitati succederent. sed reges Lacedaemoniorum, ne contra fortunam pugnando maiora detrimenta civitati infunderent, reducere exercitum voluerunt, ni intervenisset Tyrtaeus, qui composita carmina exercitui pro contione recitavit, in quibus hortamenta virtutis, damnorum solacia, belli consilia conscripserat. itaque tantum ardorem militibus iniecit, ut, non de

salute, sed de sepultura solliciti, tesseras, insculptis suis et patrum nominibus, dextro brachio deligarent, ut, si omnes adversum proelium consumpsisset et temporis spatio confusa corporis liniamenta essent, ex indicio titulorum tradi sepulturae possent. cum sic animatum reges exercitum viderent, curant rem hostibus nuntiare; Messeniis autem non timorem res, sed aemulationem mutuam dedit. itaque tantis animis concursum est, ut raro umquam cruentius proelium fuerit. ad postremum tamen victoria Lacedaemoniorum fuit.

56 Porphyr. ad Hor. Art. poet. 402 (176 Holder)

Tyrtaeusque: fuit hic genere Atheniensis poeta, omni parte membrorum deformis: primus hic tubae modulationem dedit ex hac causa. nam cum Lacedaemonii bellum adversum Messenios gererent diuque traherent dubium Martis eventum, responsum acceperunt ab Apolline, si vellent vincere, Atheniensi duce uterentur. a quibus rogati Athenienses miserunt Tyrtaeum clodum et luscum, quem deformem riderent. usi sunt auxilio. quibus ille cantum monstravit tubarum, quarum inaudito territi sono Messenii fugerunt, adeptique sunt Lacones victoriam.

57 Themist. Or. 15, 197c – 198a

Λακεδαιμονίοις τοῖς πάλαι πολέμῳ πιεζομένοις ὑπὸ Μεσσηνίων ἀνεῖλεν ὁ θεὸς συμμαχίαν αἰτεῖσθαι Ἀθήνηθεν. πρεσβευσαμένοις δὲ τοῖς Λάκωσιν οἱ Ἀθηναῖοι καὶ συμμαχίαν τὴν πυθόχρηστον αἰτησαμένοις οὐχ ὁπλίτας ἔδοσαν οὐδὲ ἱππέας οὐδὲ μὰ Δία ψιλοὺς ἢ γυμνῆτας, ἀλλὰ Τυρταῖον τὸν ποιητήν. ᾔδεσαν γὰρ ἅτε σοφοὶ ὄντες Ἀθηναῖοι τοῖς μὲν σώμασι Λακεδαιμονίους Μεσσηνίων οὐχ ἡττωμένους, θάρσει δὲ καὶ προθυμίᾳ βελτίους γίνεσθαι καὶ ἰσαρίθμους ἰσαρίθμων καὶ πολλῷ ἐλάττους πλειόνων ... ἀναστῆσαι δὲ τούτους ἐπτηχότας καὶ ἀνεγεῖραι αὐτῶν τὰ φρονήματα καὶ πρὸς τὸν ἀρχαῖον ζῆλον ἀναγαγεῖν ἱκανὸς μὲν ἦν καὶ Τυρταῖος, ἱκανωτέρα δὲ φιλοσοφία.

58 Oros. Adv. pag. 1, 21, 7 (32 Zangemeister)

Lacedaemonii Tyrreum (*pro* Tyrtaeum), Atheniensem poetam, ducem proelio legunt. qui tribus conflictibus fusi, amissum exercitum vocata in libertatem servorum manu suppleverunt. sed cum sic quoque desistendum certamine propter metum peri-

culi arbitrarentur, Tyrrei (*pro* Tyrtaei) poetae et ducis composito carmine et pro contione recitato rursus accensi mox in certamen ruunt; tanta autem vi animorum concursum est, ut raro umquam cruentius proelium exarserit; ad postremum tamen victoria Lacedaemoniorum fuit.

59 Ps.-Acro in Hor. Art. poet. 402 (II 370 Keller)

11 Galen. De plac. Hippocr. et Plat. 3, 275 Müller (= Stoic. vet. fr. II 255, 19 Arnim) *ἑτέρων ποιητῶν ἐπῶν μνημονεύει* (scil. *ὁ Χρύσιππος*) *παμπόλλων ὁμοίαν ἐχόντων ἀτοπίαν, οἷον καὶ ὅταν εἴπῃ Τυϱταῖον λέγοντα·* [1]. *ὅτι μὲν γὰϱ ἔχει ὁ λέων θυμόν, ἀκϱιβῶς ἅπαντες ἄνθϱωποι καὶ πϱὶν ἀκοῦσαι Τυϱταίου γιγνώσκομεν, οὐ μὴν Χϱυσίππῳ γ' ἔτϱεπε παϱαθέσθαι τὸ ἔπος ἀφαιϱουμένῳ τοὺς λέοντας τὸν θυμόν.* quae praecedunt vid. ad Test. 36

65 Hes. Theog. 738 *ἑξείης πάντων* (et 809, in hexam. ineunte) || 72 *M* 44 *ἀντίον ἵστανται* (Schol. A *ἀντίοι*) || 74 *Λ* 35 *ἐν δὲ μέσοισιν* (*T* 364 al.), Xenophan. 1, 7 *ἐν δὲ μέσοις* (in initio versus), As. v. 3 (sed *-οισιν*, in hexam. exitu) || 79 Mimn. 8, 3 *τοῖσ' ἴκελοι* (in hexam. ineunte) || 11 *K* 23s *λέοντος αἴθωνος* (*Λ* 548, *Σ* 161) | *ε* 222 *ἐν στήθεσσιν ἔχων ταλαπενθέα θυμόν* (*Δ* 309, *I* 255), *N* 73 *θυμὸς ἐνὶ στήθεσσι* (*N* 494, *P* 22, *η* 258)

61 cf. 1b, 4 cum adn. | *μελειτ̣[* vel *μελειγ[* Schub. (ap. Koenen) *μελει Σ̣[* West, qui *Σ[πάϱτης ἱμεϱόεσσα πόλις* temere suppl. || 63 *φϱι̣* Wil. *φọι̣* potius quam *φϱι̣* legendum censet West || 64 *ọ[. .]ι̣σ̣τευ̣ω̣* vel *-ευ̣τ* Schub. (ap. Koenen) *ὁ[. .]ọτ̣εϱ̣ω[ν* id. (ap. Wil.) *ω[. .]ηστευο* id. (ap. D.³) *ọ.[. .]σ̣τευ̣ο[* West || 67 *ο σ̣υ̣μπάλ̣λ̣ọμ̣ε̣[ν* Schub. (ap. Koenen) *οἱ γὰϱ παλλομε[ν* id. ap. Wil. (prob. D.³) *οἷς ἐμπάλλομε[ν* id. ap. Wil. (prob. D.²) *οἱ σ̣υ̣μ-* vel *οἷς ἐ̣μ̣-* West || 69 ad *Μεσσηνίων* trisyll. cf. Raderm., Wien. Stud. 43, 1922, 92 et Philologus 84, 1929, 257 || 72 *ἱστ[άμενοι* Gercke || 73 *[βελέων* West coll. 8, 28 || 74 *μεσοιοσ̣ημειọ[* vel *-ε̣[* Schub. ap. Koenen || 75 *δ' ὑ[ψηλοῖο* dub. D.² coll. *M* 386 || 78 *κυ[.]αδ̣[* West *κύ̣[μ]α[τα* Wil. *κ[ύμ]α[τα* Schub. ap. Koenen || 80 de Herae cultu cf. Tyrt. 1a, 12 || 81 suppl. Wil. | ad Tyndaridarum Lacedaemonium cultum cf. S. Wide, Lak. Kulte 304ss || 11 ad rem cf. Sn., Tyrt. 15

12 (11 D.) *πρὶν ἀρετῆς πελάσαι τέρμασιν ἢ θανάτου.*

13 (17 West) –⏕ *ἥρωες* –⏕–⏕–⏑⏑–×

°**14** (3^a D.)

⟨ὧ⟩*δε γὰρ ἀργυρότοξος ἄναξ ἑκάεργος Ἀπόλλων*
χρυσοκόμης ἔχρη πίονος ἐξ ἀδύτου·
'ἄρχειν μὲν βουλῆς θεοτιμήτους βασιλῆας,
οἷσι μέλει Σπάρτης ἱμερόεσσα πόλις,
5 *πρεσβυγενεῖς τε γέροντας, ἔπειτα δὲ δημότας ἄνδρας*
εὐθείαις ῥήτραις ἀνταπαμειβομένους.
μυθεῖσθαι δὲ τὰ καλὰ καὶ ἔρδειν πάντα δίκαια
μηδέ τι βουλεύειν τῇδε πόλει ⟨*σκολιόν*⟩,

12 Plut. De Stoic. repugn. 14 p. 1039e (= Stoic. vet. fr. III 39 Arnim) *καὶ μὴν οὐχ ἕτερα δεῖ βιβλία διειλῆσαι τοῦ Χρυσίππου τὴν πρὸς αὑτὸν ἐνδεικνυμένους μάχην, ἀλλ' ἐν αὐτοῖς τούτοις ποτὲ μὲν τοῦ Ἀντισθένους* (fr. 67 Caizzi) *ἐπαινῶν προφέρεται τὸ δεῖν κτᾶσθαι νοῦν ἢ βρόχον καὶ τοῦ Τυρταίου τό·* [1] || 13 Choerob. in Hephaest. 196, 6 Consbr. *εὑρίσκεται δὲ ἁπλῶς ἐν μέσῳ λέξεως κοινὴ καὶ ἐν παλιμβακχείῳ, ὡς καὶ παρὰ Τυρταίῳ 'ἥρωες'. οὕτω γὰρ ἔλαβε τὸν δεύτερον πόδα τοῦ στίχου.* || 14 (I) Diod. 7, 12, 6 (= Exc. hist. IV 273 Boissev.) *ὅτι ὁ αὐτὸς Λυκοῦργος ἤνεγκε χρησμὸν ἐκ Δελφῶν περὶ τῆς φιλαργυρίας τὸν ἐν παροιμίας μέρει μνημονευόμενον· 'ἁ φιλοχρηματία Σπάρταν ὀλεῖ, ἄλλο δὲ οὐδέν'·* [1–10], ubi in mg. *ἡ Πυθία ἔχρησε τῷ Λυκούργῳ περὶ τῶν πολιτικῶν οὕτως* || (II) Plut. Lyc. 6, 7 *ὥς που Τυρταῖος ἐπιμέμνηται διὰ τούτων·* [3–6]. quae praecedunt vid. ad fr. 1^b

12 Peek, G. V. 544, 1 (Athenis, saec. IV) *πάσης ἀρετῆς ἐπὶ τέρμα μολόντα* || 14 1 *Φ* 461 *ἄναξ ἑκ. Ἀπ.* (*E* 439, *O* 243 al.) || 2 *E* 512 *πίονος ἐξ ἀδύτοιο* (Theogn. 808) || 4 vid. 1^b, 4 cum adn.

12 ad rem cf. Sn., Tyrt. 16s | cf. 9, 43 cum adn. | *πρίν γ'* Br., sed ad *πρῑν* cf. *B* 348, *Ω* 245 al. | de *τέρμασιν* translate adhibito cf. Sol. 1, 71, Theogn. 1300 al. || 14 utrum carmen genuinum sit necne iamdiu disputant viri docti, alii vetustiorem existimantes textum quem apud Plutarchum invenimus (cf. 1^b), alii contra hunc ampliorem a Diodoro traditum. ad rem cf. Andrewes 95ss, Treu 35ss, Wade-Gery 1ss || 1^b, 1–2 cum °14 coniungunt Huds.-Will., Blum., Tsopan. alii || 1ss ad rem cf. Herodt. 1, 65 || 1s subditivos censuerunt Hecker, Andrewes, Wade-Gery alii || 1 suppleverunt Schndw. et Herm. (qui olim *δὴ γὰρ ὁ ἀργ.* coniecerat) *δῆλα* lusit Wil. (Textg. 108, adn. 2) || 2 *χρησαμένοις* pro *χρυσοκόμης* coni. Herm. || ad vv. 3–6 vid. 1^b, 3–6 cum adn. || 3–9 oraculum a Tyrtaeo accommodatum opinatus est Bgk. || 6s post *ἀνταπ.* non interpungunt Wil. alii || 7s spurios putat Treu || 7 *μυθεῖσθαι δὲ* cod., deff. Boissev., Tsopan. *-σθαί τε* L. Dind., probb. plerique || 8 *μηδέ τι ἐπιβουλεύειν* cod.: corr. Bach (Wurm, Herm.), prosam iudicavit Wil., Hom. Unters. 282, adn. 18 (sed cf. Textg. 108) *μηδ' ἐπιβουλεύειν* Dind., Schneider *μηδ' ἔτι βουλεύειν* Hammond | ⟨*σκολιόν*⟩ Bach (Wurm, Herm.) ⟨*τι κακόν*⟩ Dind. ⟨*τι κακῶν*⟩ Hecker ⟨*βλαβερόν*⟩ censor Diodori Dindorfiani (prob. Cr.), alii alia || post v. 8 lacunam statuit Pomtow

δήμου δὲ πλήθει νίκην καὶ κάρτος ἕπεσθαι.'
Φοῖβος γὰρ περὶ τῶν ὧδ' ἀνέφηνε πό⟨λει⟩. 10

9s paraphrasin rhetrae *δάμῳ δανγοριαν ἦμεν καὶ κάρτος* putavit Wil. (Textg. 109), subditivos censent Peppm., Andrewes, Wade-Gery || 9 *δήμου δὲ* Krebs (Lect. Diod., 1832), probb. plerique *δήμου τε* cod., deff. Wade-Gery, West alii | *ἕπεσθαι* est 'oracular present' (Huds.-Will.) || 10 ad anulariam structuram (1 ~ 10) vid. Tsopan. 80 | de *ὧδ(ε)* = *ὥς* vid. Sol. 1, 5 cum adn. | nota *ἀναφαίνω* absolute adhibitum | *πό⟨λει⟩* vulgo *πο⟨τέ⟩* Fraccaroli, qui huic carmini fragmenta 2–4 adiungit

MIMNERMVS

TESTIMONIA VITAE ATQVE ARTIS

Chronographia

1 (77 Sz.-K.) Suda s. v. *Μίμνερμος* (III 397, 20 Adler)

Λιγυρτυάδου, Κολοφώνιος ἢ Σμυρναῖος ἢ Ἀστυπαλαιεύς, ἐλεγειοποιός. γέγονε δ' ἐπὶ τῆς λζ' ὀλυμπιάδος (632 a. C.), *ὡς προτερεύειν τῶν ζ' σοφῶν· τινὲς δὲ αὐτοῖς καὶ συγχρονεῖν λέγουσιν. ἐκαλεῖτο δὲ καὶ Λιγυαστάδης διὰ τὸ ἐμμελὲς καὶ λιγύ. ἔγραψε βιβλία †ταῦτα πολλά.* 5

de nomine vid. Pasquali 113ss; West, Studies 73 qui confert *Νικήσερμος* in calice Chii reperto (600 a. C.: L. H. Jeffery, The Local Scripts of Archaic Greece, Oxford 1961, 338, tab. 65 nr. 42e). adde *Ἄρχερμος* I. G. I² 487; XII 5. 147 (cf. Jeffery, op. c. 294s, tab. 56 nrr. 29. 30), nomen sculptoris qui in Chio insula inclaruit saec. VI a. C., cf. Plin. N. H. 36, 5 || ad aetatem cf. fr. 11; 20 et vid. Szád.-Kardoss, Egyet. philol. közl. 1942, 76ss; R. E. Suppl. XI 938; West l. c. || 4 *Λιγυαστ.* cf. Sol. 26, 3 et Diels 481ss || 4s ad *ταῦτα πολλά* cf. Test. 9; 10 *ἐρωτικὰ τὰ πολλά* coni. Bernhardy

Vita atque opera

2 (5; 41 Sz.-K.) Hermesian. fr. 7, 35ss Powell, 2 D.² (ap. Athen. 13, 597a = Test. 7)

Μίμνερμος δέ, τὸν ἡδὺν ὃς εὕρετο πολλὸν ἀνατλάς 35
ἦχον καὶ μαλακοῦ πνεῦμ' ἀπὸ πενταμέτρου,
καίετο μὲν Ναννοῦς, πολιῷ δ' ἐπὶ πολλάκι λωτῷ
κημωθεὶς κώμους εἶχε σὺν Ἐξαμύῃ·

†ἠδ' ἤχθεε† δ' Ἑρμόβιον τὸν ἀεὶ βαρὺν ἠδὲ Φερεκλῆν
40 ἐχθρόν, μισήσας οἵ' ἀνέπεμψεν ἔπη.

35s de Mimn. metri elegiaci auctore cf. Test. 20; 21 || 35 πολλὸν ἀνατλάς cf. Porphyr. ad Hor. = fr. 7 adn. || 37 ad Nanno cf. Test. 7 | πολιῷ...λωτῷ ad canescentem tibicinem i. e. Mimn. referri putaverunt Marx, West (Studies 74; cf. Bach 20 adn. 26), iniuria censemus || 39s Hermobium et Pherecleem, quos poeta persecutus est elegis ut videtur (cf. ἔπη), rivales fuisse de Examyae amore censet West. Mimn. puerorum amores coluit eosdemque cantavit, si Alex. Aetoli testimonio (Test. 13) confidere licet, cf. etiam fr. 7, 9 || 39 ἤρεθε Wil., S. u. S. 278, alii alia | οὐδὲ A: corr. Casaub. || 40 τ' οιαν ἔπεμψεν A: corr. Herm.

3 (9; 84 Sz.-K.) Posidipp. Anth. P. 12, 168 (= Gow—Page, The Greek Anthology I 3086ss)

Ναννοῦς καὶ Λύδης ἐπίχει δύο, καὶ φιλεράστου
Μιμνέρμου καὶ τοῦ σώφρονος Ἀντιμάχου·
συγκέρασον τὸν πέμπτον ἐμοῦ, τὸν δ' ἕκτον ἑκάστου,
Ἡλιόδωρ', εἴπας, ὅστις ἐρῶν ἔτυχεν·
5 ἕβδομον Ἡσιόδου, τὸν δ' ὄγδοον εἶπον Ὁμήρου,
τὸν δ' ἔνατον Μουσῶν, Μνημοσύνης δέκατον.
μεστὸν ὑπὲρ χείλους πίομαι, Κύπρι, τἆλλα δ' Ἔρωτες
νήφοντ' οἰνωθέντ' οὐχὶ λίην ἄχαριν.

1 φερεκάστου P: corr. Jacobs, cf. ἑκάστου in fine v. 3. nescimus quomodo cogitari possit nomen Phereclis (Test. 2, 39) latere (West) || 2 cf. Antimach. Test. 15 Wyss = 15 West || 3 ἐμόν P: corr. Br. || 5s damn. Edm., Gow—Page || 7s τἆλλα κτλ. alii aliter emendaverunt, explicavit Giangrande, recte ut videtur

4 (27 Sz.-K.) Strab. 14, 1, 28 p. 643

ἐκτήσαντο δέ ποτε καὶ ναυτικὴν ἀξιόλογον δύναμιν Κολοφώνιοι καὶ ἱππικήν, ἐν ᾗ τοσοῦτον διέφερον τῶν ἄλλων, ὥσθ', ὅπου ποτὲ ἐν τοῖς δυσκαταλύτοις πολέμοις τὸ ἱππικὸν τῶν Κολοφωνίων ἐπικουρήσειε, λύεσθαι τὸν πόλεμον· ἀφ' οὗ καὶ τὴν παροιμίαν ἐκδοθῆναι τὴν λέγουσαν, τὸν Κολοφῶνα ἐπέθηκεν, ὅταν τέλος ἐπιτεθῇ βέβαιον τῷ πράγματι. ἄνδρες δ' ἐγένοντο Κολοφώνιοι τῶν μνημονευομένων Μίμνερμος, αὐλητὴς ἅμα καὶ ποιητὴς ἐλεγείας, καὶ Ξενοφάνης ὁ φυσικός (Test. 55)...

de Colophone patria Mimn. cf. Test. 6; 10, de Mimn. tibicine cf. Test. 5

5 (3; 33 Sz.-K.) Ps.-Plut. De mus. 8 p. 1134a = Hippon. 153 West = 161 Med.

καὶ ἄλλος δ' ἐστὶν ἀρχαῖος νόμος καλούμενος Κραδίας, ὅν φησιν Ἱππῶναξ Μίμνερμον αὐλῆσαι. ἐν ἀρχῇ γὰρ ἐλεγεῖα μεμελοποιημένα

οἱ αὐλῳδοὶ ᾖδον· τοῦτο δὲ δηλοῖ ἡ τῶν Παναθηναίων γραφὴ ἡ περὶ τοῦ μουσικοῦ ἀγῶνος. cf. Hippon. 5–10 West = 26–31 Med.; Hesych. *κραδησίτης· φαρμακός, ὁ ταῖς κράδαις βαλλόμενος*, et *κραδίης νόμος· νόμον τινὰ ἐπαυλοῦσι τοῖς ἐκπεμπομένοις φαρμακοῖς, κράδαις καὶ θρίοις ἐπιραβδιζομένοις*; Suda s. v. *φαρμακός* (IV 700, 4ss Adler).

de re disseruit Gebhard 6s, cf. etiam W. De Sousa Medeiros, Hipónax de Éfeso I. Fragmentos dos iambos, Coimbra 1961, fr. 26–31 adn.; haud constat quo animo Hipponax Mimn. neniam fici tibia modulantem iudicaverit; Sternbach 68 ita censet: 'Hipponax, qua erat animi mordacitate, flebilem elegiarum Mimnermi colorem perstrinxisse putandus est, simul eo respiciens, quod tibicen fuerat ac poeta Mimnermus.' aliter censet F. Lasserre, Plutarque, De la musique, Lausanne 1954, 18

6 Herodian. *π. καθολ. προσῳδ.* in cod. Vindob. hist. gr. 10 f. 1v (ed. H. Hunger, Jahrb. öst. byz. Gesellsch. 16, 1967, 20)

Κολοφωνιακός ... Μιμνέρμου τοῦ Κολοφωνιακοῦ

Antimacho aut recentiori poetae tribuit West, Antimach. *192

7 (41 Sz.-K.) Athen. 13, 597a

παρέλιπόν δὲ καὶ τὴν Μιμνέρμου αὐλητρίδα Ναννὼ καὶ τὴν Ἑρμησιάνακτος τοῦ Κολοφωνίου Λεόντιον. sequitur Hermesian. fr. 7 Powell = Test. 2

Ναννώ est etiam nomen puellae ap. Alcm. 1, 70 P.; *Νάννιον* vel *Ναννάριον* nomen meretricis cf. Hyperid. fr. 141 Blass; Antiphan. ap. Athen. 13, 587b; Alex. fr. 223 K.; Men. Col. fr. 4 Sandb., Pseudheracl. fr. 456 Körte-Thierf.

8 (50 Sz.-K.) Solin. 40, 6 ('e fonte ignoto' p. 167 Mommsen)

ingenia Asiatica inclita per gentes fuere. poetae Anacreon, inde Mimnermus et Antimachus (Test. 11 Wyss), deinde Hipponax (Test. 7 Med.), deinde Alcaeus, inter quos etiam Sappho mulier.

9 (46 Sz.-K.) Porphyr. ad Hor. Epist. 2, 2, 101 (399 Holder)

Alcaeus autem lyrici carminis, Callimachus elegiaci auctor est (Test. 56 Pf.). Mimnermus duos libros †luculentibus† scripsit.

2 luculentius *Hauthal* *ἀθλητικούς* *Holder* luculenti⟨s versi⟩bus *Garzya, Studi 47s* ⟨g⟩luculogous *Della Corte, Maia 1965, 376*

Veterum iudicia

10 (10; 28; 44; 11 Sz.-K.) Callim. fr. 1, 9ss Pf.

ἀλλὰ καθέλκει

10 ...]*πολὺ τὴν μακρὴν ὄμπνια Θεσμοφόρο[ς·*
τοῖν δὲ] δ̣ρ̣υοῖν Μίμνερμος ὅτι γλυκύς, αἱ κατὰ λεπτόν
ῥήσιες,] ἡ μεγάλη δ' οὐκ ἐδίδαξε γυνή.

Schol. Flor. ad l. *παρα]τίθεταί τε ἐν σ(υγ)κρίσει τὰ ὀλίγων στί[χ(ων) ὄν]τ̣(α) ποιήματα Μιμνέρμου τοῦ Κο[λοφω]νίου καὶ Φιλίτα τοῦ Κῴου βελτίονα [τ(ῶν) πολ]υστίχων αὐτ(ῶν)* (*αὐτὰ* Puelma) *φάσκων εἶναι* [... Schol. Lond. ad l. *ἤτοι πολὺ καθέλ|κει ἢ τ(ὴν) πολὺ μακρ(ήν) | ἐδίδαξαν αἱ κατὰ λεπτ(όν) | οὐκ ἐδίδ(αξεν) ἡ μεγάλ(η) | λέγει ὅτι γλυκ(ὺς) ὁ Μίμνερμος* |

de Mimn. cf. etiam Callim. 203, 7 Pf.; Colonna, Athenaeum 191ss || 10 init. *δρῦν* suppl. Housm. *γραῦν* Gallavotti, Milne, Maas (*γρηῦν* vel *γρεῦν*), i. e. Bittida Philitae, *δρῦν* pro Antimachi Lyde accipit Puelma 105 || 11s de horum versuum interpretatione acriter certant viri docti: 'magnam mulierem' alii pro Nanno, alii pro Smyrna Amazone accipiunt, alii pro Antimachi Lyde. sed e Schol. Flor. conici licet longa comparari cum brevibus Philitae et Mimnermi carmina, i. e. Smyrneida (*μεγ. γυνή* Colonna, cf. 24 adn.), longum et continuum elegiacum carmen, quod Callimachus repudiat (1, 3 Pf. *οὐχ ἓν ἄεισμα διηνεκές*...), cum parvis Nannus elegis suavitate praestantibus. Nanno quidem opus serie carminum soluta compositum idemque de multis variisque rebus egisse fragmenta quae exstant et veterum testimonia docent || 11 *τοῖν δυοῖν* scil. 'Nanno' et 'Smyrneis' cf. Test. 9 | ad *γλ.* cf. Test. 2, 36 | sensum vocabuli *λεπτός* explicavit R. Pfeiffer, History of Classical Scholarship, Oxford 1968, 136ss || 12 init. suppl. Rostagni, cf. Callim. ep. gr. 27, 3s *λεπταὶ ῥήσιες* de Arati Phaenom.

11 (22 Sz.-K.) Hor. Epist. 2, 2, 99ss

discedo Alcaeus (Test. 168 Gall.) puncto illius; ille meo quis?
quis nisi Callimachus (Test. 56 Pf.)? si plus adposcere visus,
fit M i m n e r m u s et optivo cognomine crescit.

ad rem vid. Giardina 25 et Alfonsi 377

12 (20 Sz.-K.) Prop. 1, 9, 11ss

plus in amore valet M i m n e r m i versus Homero:
carmina mansuetus lenia quaerit Amor.
i quaeso et tristis istos compone libellos,
et cane quod quaevis nosse puella velit!

de re probe disseruit Puelma 113

Fortuna

13 (8; 12; 43 Sz.-K.) Alex. Aet. fr. 5, 1ss Powell, 3 D.[3] (ap. Athen. 15, 699b)

ὡς Ἀγαθοκλεῖος λάσιαι φρένες ἤλασαν ἔξω
πατρίδος. ἀρχαίων ἦν ὅδ' ἀνὴρ προγόνων,
εἰδὼς ἐκ νεότητος ἀεὶ ξείνοισιν ὁμιλεῖν
ξεῖνος· Μιμνέρμου δ' εἰς ἔπος ἄκρον ἰών
παιδομανὴς ἐν ἔρωτί ποτ' ἦν ἴσον· ἔγραφε δ' ὡνήρ 5
εὖ παρ' Ὁμηρείην ἀγλαΐην ἐπέων
...

Athen. 15, 699b *ὅτι δὲ ἦν τις περὶ αὐτοὺς (τὸν Βοιωτὸν δὲ καὶ τὸν Εὔβοιον τοὺς τὰς παρῳδίας γράψαντας* 698b) *δόξα παρὰ τοῖς Σικελιώταις, Ἀλέξανδρος ὁ Αἰτωλὸς ὁ τραγῳδοδιδάσκαλος ποιήσας ἐλεγεῖον τρόπον τοῦτον δηλοῖ·*

1 *ὧν* Herm., Mein. *οὓς* Schweigh. || 2 *ἀνήρ* scil. Boeotus poeta || 3 *ξένοισιν* A: corr. Mus. || 4s Boeotus poeta, qui exul assueverat peregrinus cum peregrinis consuetudinem habere, tum demum poesi Mimn. obsecutus puerorum amoribus indulsit quales Mimn. in carminibus significaverat (cf. 7, 9 et Test. 2) || 4 *εἰς ἔπος ἄκρον* pro *εἰς ἄκρον ἐπέων* ad 'poeseos illud genus in quo excelluit Mimnermus' Casaub., aliter Bach 15 et Wil., S. u. S. 285 qui *εἰς ἔπος ἄκρον* pro *εἰς τὸ ἄκρον τοῦ ἔπους* ad certum quendam et omnibus notum Mimn. versum spectare censent | *ἁβρὸν* dub. Powell || 5 *παιδομανεῖ σὺν ἔρωτι* A: corr. Schweigh. | *πότην ἴσον* A: explic. Schweigh. *ἴσος* praefert Bach *πότης ἴσος* Casaub. *ἶσον* (= *ἐπ' ἴσον*) praefert Wil., alii alia

□

14 (31 Sz.-K.) C. I. G. II 2, 3376 (Smyrnae, saec. I p. C.)

Πό(πλιος) Πετρώνιος Σε|κοῦνδος τὸ μνημεῖ|ον ἑαυτῷ καὶ γυναικὶ | καὶ τέκνοις. Πό(πλιος) Πετρώ|νιος Ἀχαϊκὸς τειμη|θεὶς ψηφίσμασιν καὶ | στεφανωθεὶς χρυσέ|ῳ στεφάνῳ ὑπὸ γερου|σίας, νέων Μιμνερμείου, | παιδευτῶν συνόδου· | Ἀχαϊκὲ χαῖρε. |

ad Smyrnae gymnasium Mimnermeum appellatum vid. Delorme 339; Kontoleon 52

15 Ian. Lascaris epigr. 20 (ed. A. Meschini, Padova 1975)

μέτρον Μιμνέρμου καὶ Βαττιάδαο τὸ τερπνόν
οὔτοι ἄνευ μέτρων ἔστι μαθεῖν ἐπέων.
εἰ δ' ὀλίγοις ἐλέγοις σπεύδεις, ἀκίχητα διώκεις·
ἓξ πρότερος βαίνει, πέντε ποσὶν δ' ἕτερος.

2 *μέτρων ... ἐπέων* pro elegis dictum, cf. ex. gr. Theogn. 20. 22

16 (95; 96; 100 Sz.-K.) Petrus Alcyonius, Medices legatus sive de exilio libri duo ... cum praefatione Jo. Burchardi Menckenii et

indice copioso (Analecta de calamitate litteratorum), Lipsiae 1707, 69

audiebam etiam puer ex Demetrio Chalcondyla, Graecarum rerum peritissimo, sacerdotes Graecos tanta floruisse auctoritate apud Caesares Byzantinos, ut integra, illorum gratia, complura de veteribus Graecis poemata combusserint inprimisque ea ubi amores, turpes lusus et nequitiae amantium continebantur, atque ita Menandri, Diphili, Apollodori, Philemonis, Alexis fabellas, et Sapphus, Erinnae, Anacreontis, Mimnermi, Bionis, Alcmanis, Alcaei carmina intercidisse: tum pro his substituta Nazianzeni nostri poemata, quae etsi excitant animos nostrorum hominum ad flagrantiorem religionis cultum, non tamen verborum Atticorum proprietatem et Graecae linguae elegantiam edocent. turpiter quidem sacerdotes isti in veteres Graecos malevoli fuerunt, sed integritatis, probitatis et religionis maximum dedere testimonium.

ad rem vid. Treu 1232; Speyer 142s et praesertim Cavallo 212

Metrum

17 (49 Sz.-K.) Ps.-Censorin. De mus. VI 607, 2ss Keil

prior est musica inventione metrica. cum sint enim antiquissimi poetarum Homerus Hesiodus Pisander, hos secuti elegiarii Callinus (Test. 4) Mimnermus Euenus....

18 (4; 55 Sz.-K.) Schol. Bob. in Cic. Pro Arch. 25 (164 Hildebrandt) = Aristot. fr. 676 Rose

primus autem videtur elegiacum carmen scribsisse Callinos (Test. 3). adicit Aristoteles (Aristocles *coni.* Rose) praeterea hoc genus poetas Antimachum Colofonium (Test. 10 Wyss), Archilochum Parium, Mimnermum Colofonium, quorum numero additur etiam Solon, Atheniensium legum scribtor nobilissimus (Test. 718 Martina).

19 (68; 71; 76; 87; 90 Sz.-K.) Phot. Bibl. p. 319b 6 (V 158 Henry) = Procl. Chrest. I 2, 24 Severyns

τὴν δὲ ἐλεγείαν συγκεῖσθαι μὲν ἐξ ἡρῴου καὶ πενταμέτρου στίχου, ἁρμόζειν δὲ τοῖς κατοιχομένοις. ὅθεν καὶ τοῦ ὀνόματος ἔτυχεν· τὸ γὰρ

θρῆνος ἔλεγον ἐκάλουν οἱ παλαιοὶ καὶ τοὺς τετελευτηκότας δι' αὐτοῦ εὐλόγουν. οἱ μέντοι γε μεταγενέστεροι ἐλεγείᾳ πρὸς διαφόρους ὑποθέσεις ἀπεχρήσαντο. λέγει δὲ (scil. Proclus) *καὶ ἀριστεῦσαι τῷ μέτρῳ Καλλῖνόν τε τὸν Ἐφέσιον* (Test. 14) *καὶ Μίμνερμον τὸν Κολοφώνιον, ἀλλὰ καὶ τὸν τοῦ Τηλέφου Φιλίταν τὸν Κῷον* (Test. 8a Kuchenmüller) *καὶ Καλλίμαχον τὸν Βάττου* (Test. 87 Pf.)· *Κυρηναῖος δ' οὗτος ἦν.* cf. Canon. Byz. tabulas M et C ap. O. Kroehnert, Canonesne poetarum, scriptorum, artificum per antiquitatem fuerunt?, Diss. Königsberg 1897, 6. 13 (tab. C cod. N add. H. Rabe, Rh. Mus. 65, 1910, 342) *Ἐλεγείων ποιηταὶ* (*Ἐλεγειοποιηταὶ* M) *δ'* (om. C)· *Καλλῖνος, Μίμνερμος, Φιλίτας* (*Φιλήτας* M), *Καλλίμαχος*; Tzetz. in Lycophr. Alex. (II 3, 15 Scheer) *Ἐλεγείων δὲ ποιηταὶ Καλλίμαχος, Μίμνερμος, Φιλητᾶς.*

de primordiis elegiae vid. Gent., Epigramma 46ss | ad fontes quibus Proclus de poetis elegiacis usus sit vid. Test. 21 | ad Canon. Byz. praeter Kroehnert, op. c. 42s, cf. Pfeiffer, History of Classical Scholarship, Oxford 1968, 206, adn. 1

Mimnermus elegiaci metri auctor

20 (51; 54; 70 Sz.-K.) Mar. Plot. Sacerd. VI 509, 31 Keil

elegiacum metrum dictum est, quod *εε* sonat interiectionem flentis, et hoc metro mortuis fletus componebant antiqui vel epigrammata consecrationum, sicut Horatius docet de arte poetica sic (75s):

versibus inpariter iunctis querimonia primum,
post etiam inclusa est voti sententia compos.

auctorem vero huius metri, id est elegiaci, alii Pythagoram, alii Ortugen, non nulli M i m n e r m u m dicunt. unde de incerto auctore eleganter Horatius lusit sic (A. P. 77s):

quis tamen exiguos elegos emiserit auctor,
grammatici certant, et adhuc sub iudice lis est.

cf. Test. 2, 1; 21 adn. et Mar. Victor. VI 107, 10 Keil; Isidor. Orig. 1, 39, 14–15 Lindsay, qui *Colophonium quendam* elegiaci metri auctorem afferunt.

21 (17; 67; 86 Sz.-K.) Orio s. v. *ἔλεγος* (58, 8 Sturz) = Didym. 1 (387 Schmidt)

ἔλεγος ὁ θρῆνος, διὰ τὸ δι' αὐτοῦ τοῦ θρήνου εὖ λέγειν τοὺς κατοιχομένους. εὑρετὴν δὲ τοῦ ἐλεγείου οἱ μὲν τὸν Ἀρχίλοχον (Test. 118

Tard.), *οἱ δὲ Μίμνερμον, οἱ δὲ Καλλῖνον παλαιότερον* (Test. 5). *ὅθεν πεντάμετρον τῷ ἡρωικῷ συνῆπτον οὐχ ὁμοδραμοῦντα τῇ τοῦ προτέρου δυνάμει, ἀλλ' οἷον συνεκπνέοντα καὶ συν⟨απο⟩σβεννύμενον ταῖς τοῦ τελευτήσαντος τύχαις· οἱ δ' ὕστερον πρὸς ἅπαντας ⟨ἀ⟩διαφόρως. οὕτω Δίδυμος ἐν τῷ περὶ ποιητῶν.* cf. Et. Gud. s. v. *ἔλεγος* (452, 13 De Stefani)

ad rem cf. De Marco, Rendiconti 322s; Gent., Epigramma 51 s

De cantatione carminis elegiaci

22 (7; 42; 81 Sz.-K.) Athen. 14, 620c = Chamael. fr. 28 Wehrli = 27 Steffen

Χαμαιλέων δὲ ἐν τῷ περὶ Στησιχόρου καὶ μελῳδηθῆναί φησιν οὐ μόνον τὰ Ὁμήρου, ἀλλὰ καὶ τὰ Ἡσιόδου καὶ Ἀρχιλόχου (Test. 32 Tard.), *ἔτι δὲ Μιμνέρμου καὶ Φωκυλίδου.*

ad rem cf. Test. 2; 4; 5; Theogn. 825. 943. 1041; Paus. 10, 7, 5; Bowra, Early Gr. Eleg. 5s; Gent., Lirica gr. arc. 60. de cantatione addubitat D. A. Campbell, Journ. Hell. Stud. 84, 1964, 63, iniuria opinamur.

Testimoniis non adnumerantur quae coniectura ad Mimnermum relata sunt:

a Cic. ad Att. 1, 16, 5 *nosti Calvum ex Nanneianis illum,* ubi verbum *Nanneianus* non ex *Nanno* (Hathorn 33; Szád.-Kardoss, Röm. Lit. 39ss), sed ex nomine *Nanneius* derivatum videtur; nam ex *Nanno Nannicus* expectaveris ut ex *Sappho Sapphicus,* cf. Della Corte et Gent., Maia 1965, 386ss.

b Elegia in Maec. 1, 37 Baehrens *marmora Aonii vincunt monumenta libelli: Mimnermi* pro *Aonii* coni. Bickel ex *minei* (H *-aei* SP), probat Alfonsi.

c Ov. Ib. 548: pro *Mimnermi* (o *minermi* PTP$_2$) legendum *Mamertae* vel *Mammertae* vel *Mammerci,* cf. A. La Penna, P. Ov. Nas. Ibis, Firenze 1957, ad l.

ΜΙΜΝΕΡΜΟΣ

Colophonius vel Smyrnaeus saec. VII

ΝΑΝΝΩ

1 (4. 5 D.)

Τιθωνῷ μὲν ἔδωκεν ἔχειν κακὸν ἄφθιτον ⟨ὁ⟩ Ζεύς
γῆρας, ὃ καὶ θανάτου ῥίγιον ἀργαλέου
*
ἀλλ' ὀλιγοχρόνιον γίνεται ὥσπερ ὄναρ
ἥβη τιμήεσσα· τὸ δ' ἀργαλέον καὶ ἄμορφον
γῆρας ὑπὲρ κεφαλῆς αὐτίχ' ὑπερκρέμαται, 5
ἐχθρὸν ὁμῶς καὶ ἄτιμον, ὅ τ' ἄγνωστον τιθεῖ ἄνδρα,
βλάπτει δ' ὀφθαλμοὺς καὶ νόον ἀμφιχυθέν.

2 (8 D.) *ἀληθείη δὲ παρέστω*
σοὶ καὶ ἐμοί, πάντων χρῆμα δικαιότατον.

1 (I) Stob. 4, 50 (*ψόγος γήρως*), 68. 69, V 1045 H. [SMA] *Μιμνέρμου Ναννοῦς*: *μιμνέρμου νάννους* (*νάνους* vel *νάννου*) MA bis ad vv. 1. 3 *μίμνερμος* in mg. v. 3 add. A *μιμνέρμου* STr. (*μιμέρμνου* v. l.) ad v. 3· [1–7] || (II) Theogn. 1020–1022 [3–5] || 2 Stob. 3, 11 (*π. ἀληθείας*), 12, III 431 H. [LSMA] $μ^{ρ}$ *νάννους* S *μενάνδρου νάννους* MA om. L: *Μιμνέρμου Ναννοῦς* Passow et Gaisf. (Menandri excerpta et ante et post feruntur)· [1–2]

1 3s Theocr. 27, 8 *ὡς ὄναρ ἥβη* (in fine hexam.) || 5 Theogn. 1012 (*γῆρας*) *κεφαλῆς δ' ἅπτεται ἀκροτάτης* || 7 *Ξ* 252s (*Ὕπνος*) *Διὸς νόον . . . ἀμφιχυθείς*, *δ* 716 *τὴν δ' ἄχος ἀμφεχύθη* || 2 2 Sol. 13, 2 *πάντων ἐστὶ δικαιοτάτη*, Tyrt. 6, 4 *πάντων ἔστ' ἀνιηρότατον* (Theogn. 124. 258); ad inscriptiones cf. Gent., Epigramma 71

versus 1–2 et 3–7 ad eandem elegiam pertinere videntur ut Urs. et Br.[1] coni.; notandum etiam in Vat. gr. 954 f. 385^{v} (saec. XV) 3–7 nullo spatio intermisso protinus sequi 1–2; lacunam post 2 notavit Br.[1], versum qui desideratur post 2 e Theogn. 1019 (*τερπνὸν ὁμῶς καὶ καλόν, ἐπεὶ πλέον ὤφελεν εἶναι*) suppl. Urs. 1–2 et 3–7 distinxit Br.[2] qui versibus 3–7 praemisit Theogn. 1017–1019, probaverunt Hart., Bgk., West || 1s ad rem vid. Hymn. Ven. 218s || 1 *ἔδωκε* SA | *σχεῖν* codd.: corr. Gesn. ex Hymn. c. 212 | ad *κακόν* cf. 7, 7; 8, 11 et *κακὸν γῆρας* Sol. 18, 10 | ⟨*ὁ*⟩ tacite Gesn. | *Ζεύς* Tr. om. SMA || 2 *γῆρας . . . ἀργ.* cf. 7, 10; 8, 6 || 3 *ὀλιγοχρόνιος* (II) O | *ὀλιγ.* hic primum invenitur || 4 *τιμήεσσας* M | *οὐλόμενον* (II) || 5 *αὐτίχ' ὑπὲρ κεφαλῆς γῆρας* (II) | *ὑπερκρέμμαται* (I) SM *ἐπικρέμαται* Hecker, cf. Simon. 520, 4 P. (West) || 6 *ὅταν γνωστὸν* MA *ὃ καὶ γνωστὸν* dub. Schndw. | *τιθῇ* A | cf. 7, 6 et Xenophan. 1, 2 || 2 Theognidi falso adtribuerunt Grot. et Br., at verbum *ἀληθείη* Theogn. alienum, cf. *ἀληθοσύνη* 1226 || 1 *ἀληθείη* est veritas in amando cum in mutuo

3 (12 D.)

Αἰπὺ Πύλον θ' ἡμεῖς Νηλήιον ἄστυ λιπόντες
ἱμερτὴν Ἀσίην νηυσὶν ἀφικόμεθα,
ἐς δ' ἐρατὴν Κολοφῶνα βίην ὑπέροπλον ἔχοντες
ἑζόμεθ' ἀργαλέης ὕβριος ἡγεμόνες·
5 κεῖθεν †διαστήεντος† ἀπορνύμενοι ποταμοῖο
θεῶν βουλῇ Σμύρνην εἵλομεν Αἰολίδα.

3 Strab. 14, 1, 4 p. 634[1]) ἀπελθόντες δὲ παρὰ τῶν Ἐφεσίων οἱ Σμυρναῖοι στρατεύουσιν ἐπὶ τὸν τόπον, ἐν ᾧ νῦν ἐστιν ἡ Σμύρνα, Λελέγων κατεχόντων· ἐκβαλόντες δ' αὐτοὺς ἔκτισαν τὴν παλαιὰν Σμύρναν ... ὕστερον δὲ ὑπὸ Αἰολέων ἐκπεσόντες κατέφυγον εἰς Κολοφῶνα, καὶ μετὰ τῶν ἐνθένδε ἐπιόντες τὴν σφετέραν ἀπέλαβον· καθάπερ καὶ Μίμνερμος ἐν τῇ Ναννοῖ φράζει, μνησθεὶς τῆς Σμύρνης ὅτι περιμάχητος ἀεί· [1–6] | cf. Herodt. 1, 16, 2 (Ἀλυάττης) Σμύρνην τε τὴν ἀπὸ Κολοφῶνος κτισθεῖσαν εἷλε | Paus. 7, 5, 1 Σμύρναν δὲ ἐν ταῖς δώδεκα πόλεσιν οὖσαν Αἰολέων, καὶ οἰκουμένην τῆς χώρας καθ' ἃ καὶ ἐς ἐμὲ ἔτι πόλις, ἣν καλοῦσιν ἀρχαίαν, Ἴωνες ἐκ Κολοφῶνος ὁρμηθέντες ἀφελόμενοι τοὺς Αἰολεῖς ἔσχον.

3 1 *B* 591s οἳ δὲ Πύλον τ' ἐνέμοντο ... καὶ Θρύον, Ἀλφειοῖο πόρον, καὶ ἐύκτιτον Αἰπύ, *Λ* 711s ἔστι δέ τις Θρυόεσσα πόλις, αἰπεῖα κολώνη, τηλοῦ ἐπ' Ἀλφειῷ, νεάτη Πύλου ἠμαθόεντος (cf. Schol. *B* 592 b. c, I 310 Erbse) | *Λ* 682s Πύλον Νηλήιον ... προτὶ ἄστυ | *Ξ* 281 Λήμνου τε καὶ Ἴμβρου ἄστυ λιπόντε || 2 Tyrt. 1[a], 15 εὐρεῖαν Πέλοπος νῆσον ἀφικόμεθα || 3 Hymn. Ap. 477 ἔς τε πόλιν ἐρατήν | Hes. Theog. 670 βίην ὑπέροπλον ἔχοντες (in fine hexam.) (α 368, δ 321 ὑπέρβιον ὕβριν ἔχοντες) || 5 α 285 κεῖθεν δὲ Σπάρτηνδε (in initio hexam.) | *E* 105 ἀπορνύμενον Λυκίηθεν (Hymn. Ap. 29, Hes. Theog. 9, Pind. Pyth. 1, 66) || 6 Tyrt. 2, 2 Μεσσήνην εἵλομεν εὐρύχορον

amore sit, res iustissima, fides, cf. Anacr. 120 Gent. = 402 P. καλὸν ἔρωτι (vel Ἔρωτι) τὰ δίκαια, Gent., Maia 1965, 381; Privitera 133ss qui addit Alc. 366 L.-P. = 366 Voigt οἶνος, ὦ φίλε παῖ, καὶ ἀλάθεα | ἀλήθεια M || 2 ad notionem verborum δίκη, δίκαιος cf. Gent., Stud. class. orient. 1972, 60–72

3 1s λιπόντες ... ἀφικ.: estne Pylius qui loquitur? an sit ipse Andraemon (cf. fr. 4) qui Colophonem condidit dici non potest, vid. Tsagarakis, Self-Expression 27s; 'nos Iones' Cassola, Atti 329s || 1 αἰπύτε Πύλον CW (αἰ πύτε Πύλον) gvsxz(n[2] Sbordone) ἐπεί τε Πύλον Fe(z Sbordone) ἡμεῖς δ' αἰπυ πυ s in mg. add. m. rec. saec. XVI vel recentior Αἰπὺ Πύλον θ' ἡμεῖς nos Αἰπὺ δέ τ' ἠδὲ Πύλον Ebert ἡμεῖς δ' αἰπὺ Πύλον Bach, prob. (sed Πύλου) Bgk.[4] αἰπὺ δ' ἐπείτε Πύλον Edmonds ⟨αἰπὺ δ'⟩ ἐπεί τε Πύλον Szád.-Kardoss Αἰπὺ ⟨ ⟩ τε Πύλον West αἰπεῖάν τε Πύλον Hi., prob. Huds.-Will. ⟨ ⟩ ἐπείτε Πύλον Wil., S. u. S. 282 –⏑ ἐπεί τε Πύλον D. Αἰπύ⟨τιόν⟩ τε Πύλον Huxley 106 sed vid. Dihle 259ss | ad Αἰπύ vid. Schol. *B* 592 c. Αἰπυ· ὄνομα γάρ ἐστι πόλεως et Mycen. a_3-pu-ke-ne-ja L. Baumbach, Glotta 49, 1971, 156; male intellegit Hesych. αἰπύ· ... ἡ πόλις τῆς Πύλου, cf. Steph. Byz. 54, 4

1) Lectiones codd. Strabonis per litteras comiter nobis communicavit F. Lasserre.

4 (10 West)

STRAB. 14, 1, 3 p. 633 *οἵ τε Μεσσήνιοι καὶ οἱ Πύλιοι συγγένειάν τινα προσποιοῦνται, καθ' ἣν καὶ Μεσσήνιον τὸν Νέστορα οἱ νεώτεροί φασι ποιηταί, καὶ τοῖς περὶ Μέλανθον τὸν Κόδρου πατέρα πολλοὺς καὶ τῶν Πυλίων συνεξᾶραί φασιν εἰς τὰς Ἀθήνας· τοῦτον δὴ πάντα τὸν λαὸν μετὰ τῶν Ἰώνων κοινῇ στεῖλαι τὴν ἀποικίαν. τοῦ δὲ Νηλέως ἐπὶ τῷ Ποσειδίῳ βωμὸς ἵδρυμα δείκνυται. Κυδρῆλος δὲ νόθος υἱὸς Κόδρου Μυοῦντα κτίζει· Ἀνδρόπομπος δὲ Λέβεδον, καταλαβόμενος τόπον τινὰ Ἄρτιν· Κολοφῶνα δ' Ἀνδραίμων Πύλιος, ὥς φησι καὶ Μίμνερμος ἐν Ναννοῖ* | cf. PAUS. 7, 3, 5 *τὸ δὲ ἐξ ἀρχῆς καὶ τὴν Λέβεδον ἐνέμοντο οἱ Κᾶρες, ἐς ὃ Ἀνδραίμων σφᾶς ὁ Κόδρου καὶ Ἴωνες ἐλαύνουσι. τῷ δὲ Ἀνδραίμονι ὁ τάφος ἐκ Κολοφῶνος ἰόντι ἐστὶν ἐν ἀριστερᾷ τῆς ὁδοῦ, διαβάντι τὸν Καλάοντα ποταμόν.*

5 (10 D.)

Ἠέλιος μὲν γὰρ ἔλαχεν πόνον ἤματα πάντα,
οὐδέ κοτ' ἄμπαυσις γίνεται οὐδεμία

5 ATHEN. 11, 470a *Μίμνερμος δ' ἐν Ναννοῖ* (*δ' ἐναννοι* A: corr. Bgk. *δὲ Ναννοῖ* Mein.) *ἐν εὐνῇ φησι χρυσῇ κατεσκευασμένῃ πρὸς τὴν χρείαν ταύτην ὑπὸ Ἡφαίστου τὸν Ἥλιον καθεύδοντα περαιοῦσθαι πρὸς τὰς ἀνατολάς, αἰνισσόμενος τὸ κοῖλον τοῦ ποτηρίου. λέγει δ' οὕτως·* [A 1–11, CE 5 *εὐν.* – 7 *τιμ.*] | cf. PHILODEM. De piet. (P. Hercul. 1088 fr. 2b + 433 fr. 2a; Boserup 110) [.... *καὶ τὸν*] *Ἥλιον* [*καὶ ἄλλους*] *τινὰς* [*θεοὺς πολυ*]*μόχθο*[*υς πεποιή*]*κασι* ... *Μί*-] *μνερ*[*μος*] *μ*[*ὲν οὐ δι*]*αφωνεῖν δ*[*οκ*]*εῖ,* [*κα*]*θ' ἑ*{*σ*}*κάστ*[*η*]*ν* [*νύκ*]*ṭα καθεύ*[*δειν αὐ*]*τὸν λέγων* | EUST. in Od. p. 1632, 28 *Μίμνερμός δέ φασι τὸ τοῦ ἡλίου καλούμενον ποτήριον εὐνὴν κύλην* (scil. *κοίλην,* cf. *κοιλίδιον* et *κυλίδιον*) *εἶπεν, Ἡφαίστου χερσὶν ἐληλαμένην*

5 1 *ἤματα πάντα Ξ* 235 passim (in fine hexam.) || 2 Theogn. 170 *ἀνδρὸς δὲ σπουδὴ γίνεται οὐδεμία*

Αἰπυ· πόλις Μεσσηνίας. de nominis accentu vid. Schol. *B* 592 c.; Strab. 8, 3, 24 *Αἰπύ* etiam *Ἐπιτάλιον* sua aetate appellari testatur || 2 ad *Ἀσίην* vid. Dyer 120 || 3 *δ' ἄρα τὴν* codd.: corr. Wytt. || 4 *ἑζόμεθ'* Fexzs *ἑζώμεθ'* Wgv *ἐζώμεθ'* C | *ἀργ.* cf. 1, 2. 4; 7, 10; 8, 6; 11, 1; 13, 2 | Theogn. 1103s *ὕβρις καὶ Μάγνητας ἀπώλεσε καὶ Κολοφῶνα καὶ Σμύρνην* | *ὕβ. ἡγεμόνες* vid. Mazzarino, Il pensiero I 38s || 5 *διαστήεντος* FCWgvse (*δι' ἀ-*) z *δ' ἀναστάντες* x *δ' Ἀστήεντος* Br. qui in adn. Analect. III 10 *δ' Ἀλήεντος* coni. itemque Tzschucke (*δ' Ἀλ.*), Bach, cf. Paus. 8, 28, 3 *Ἄλεντος δὲ τοῦ ἐν Κολοφῶνι καὶ ἐλεγείων ποιηταὶ τὴν ψυχρότητα ᾄδουσι,* Tzetz. ad Lycophr. 868. alias, quae minus verisimiles videntur, coniecturas invenies ap. Cook, Charist. 148s qui etiam *δ' αὖτε Μέλητος* proponit; nomen fluminis latet, itaque *δ' Ἀλήεντος* vel potius *δ' Ἀστήεντος* legere possis, cf. Mazzarino, Il pensiero I 40 et 536 | ad *ἀπορνύμενοι* cf. Paus. 7, 5, 1, Cassola, Atti 329s qui confert Hesych. *ἀπορνύμενοι· ὁρμῶντες* || 6 *Σμύρναν εἴδομεν* codd.: corr. Br.

4 cf. 3, 1–2 adn. || 5 cf. Pisandr. fr. 5 Kinkel, Stesich. 185 P. = S. L. G. 17 P., Pherecyd. FGrHist 3 F 18a, Antimach. 66 Wyss = 66 West; ad rem in universum vid. H. Fränkel, Dicht. 244s; Gent., Maia 1965, 384; Perrotta-Gent. 44ss; Gerber, Euterpe 111ss || 1 *λέλαχεν* Hoffmann *πόνον ἔλ⟨λ⟩αχεν* Herm., iniuria prob. Bgk.[4], D., Adr., Gerber, at cf. *B* 39 *θήσειν γὰρ̄ ἔτ' ἔμελλεν, T* 49 *ἔτι γὰρ̄ ἔχον,* Theogn. 2 *λήσομαι ἀρχόμενος̄ οὐδ' ἀποπαυόμενος* (Huds.-Will.);

ἵπποισίν τε καὶ αὐτῷ, ἐπὴν ῥοδοδάκτυλος Ἠώς
   Ὠκεανὸν προλιποῦσ' οὐρανὸν εἰσαναβῇ·
5 τὸν μὲν γὰρ διὰ κῦμα φέρει πολυήρατος εὐνή
   κοίλη Ἡφαίστου χερσὶν ἐληλαμένη
χρυσέου τιμήεντος, ὑπόπτερος, ἄκρον ἐφ' ὕδωρ
   εὕδονθ' ἁρπαλέως χώρου ἀφ' Ἑσπερίδων
γαῖαν ἐς Αἰθιόπων, ἵνα δὴ θοὸν ἅρμα καὶ ἵπποι
10 ἑστᾶσ', ὄφρ' Ἠὼς ἠριγένεια μόλῃ.
ἔνθ' ἐπεβήσεθ' ἑῶν ὀχέων Ὑπερίονος υἱός.

3 *Λ* 525 *Τρῶες ὀρίνονται . . . ἵπποι τε καὶ αὐτοί* | *ῥοδ. Ἠώς* Hom. passim (in fine hexam.) || 4 *Η* 423 (*Ἠέλιος*) *οὐρανὸν εἰσανιών* || 5 *ψ* 354 *νῦν δ' ἐπεὶ ἀμφοτέρω πολυήρατον ἱκόμεθ' εὐνήν*, Hes. Theog. 404 *Φοίβη δ' αὖ Κοίου πολυήρατον ἦλθεν ἐς εὐνήν* || 7 *Σ* 475 *καὶ χρυσὸν τιμῆντα* (in initio hexam.) (*θ* 393, *λ* 327) || 9 *Ψ* 206 *Αἰθιόπων ἐς γαῖαν* (in initio hexam.) | *Θ* 438s *Ζεὺς δὲ πατὴρ Ἴδηθεν ἐύτροχον ἅρμα καὶ ἵππους . . . δίωκε*, Ps.-Hes. Scut. 97 *ἰθὺς ἔχειν θοὸν ἅρμα καὶ ὠκυπόδων σθένος ἵππων*

adde Sol. 19, 1; 23, 7. 8, Theogn. 329. 461. 1232, Archil. S. L. G. 478, 31 P. *ἐς*] *κόρακας ἄπεχε*, cf. Gent. Gnomon 48, 1976, 745 || 2 *ποτ'* A: corr. Bach, prob. D., cf. 10, 1 | *ἄμπαυσις* hic primum invenitur, *ἄμπαυμα* Hes. Theog. 55 || 3 *ἐπὴν* non *ἐπεὶ* est lectio A, ut ipsi inspeximus et ex ed. Kaib. adn. colligitur; *ἐπὴν* Casaub. falso tribuunt edd., sed dub. West || 5ss de structura verborum *τὸν μὲν . . . εὕδονθ' ἁρπ., διὰ κῦμα . . . ἄ. ἐφ' ὕδωρ* vid. Römisch 71s || 5 ad *εὐνή* cf. 7, 3 et *θαλ.* 10, 6 || 6 *κοίλη* AE: corr. Mein., cf. *γελοίιον Β* 215, *ὁμοίιος* Xenophan. 26, 2 *κωίλη* Bgk.[4] coll. *ὀλώιον* (*ὀλοίιον* Nauck) Hes. Theog. 591 *κοίλη ἐν* Ahr. *κοίλη ὑφ'* Schndw. *ποικίλη* Kaib., prob. West | *κοίλη* ad omnem rem spectans, seu concavam seu convexam (de nave dicitur ap. Hom.), calicem vel pateram significat (cf. *δέπας* ap. auctt. cc.) quam ut exoptatum Solis cubile i. e. thalamum fingit Mimn., cf. Hor. C. 4, 15, 15s ad ortus solis ab Hesperio cubili | Aesch. fr. 103 Mette *Ἡφαιστοτυκὲς δέπας* (Gerber) || 7 *χρυσοῦ* AE: correximus, cf. 7, 1; 10, 6 | ad *τιμ.* cf. 1, 4 | *ὑπόπτερον* A: corr. Heyne | pateram Solis etiam artifices vasorum alatam describunt | *Π* 161s *ὕδωρ ἄκρον* || 8 *εὕδονθ' ὀθ'* et *χοροῦ* A: corr. Mus. | *ἁρπαλέως* 'placide' vel 'iucunde' cum *εὕδονθ'* coniunctum (H. Fränkel) cf. 7, 4 adn. | ad *Ἑσπ.* cf. Hes. Theog. 215. 518 cum adn. West || 9 ad Aethiopas cf. *α* 22ss, Herodt. 7, 70 | *ἵν' ἀληθοον* A: corr. Mein. || 9s *Ξ* 307s *ἵπποι . . . ἑστᾶσ'* || 10 *Ω* 781 *μόλῃ ἠώς* || 11 *ἐπέβη ἑτέρων* A: corr. Schndw. (ex *Λ* 512. 517) qui etiam *ἐπέβη ἱερῶν* vel *πτερινῶν* proposuit *ἐπέβη ⟨σφ⟩ετέρων* coni. Bgk.[1] cf. Ps.-Hes. Scut. 90. lectionem cod. defendunt Bgk.[4] et West haud recte ut videtur, quod iidem sunt equi et currus quibus Sol diurnum conficit cursum et quibus numquam fit '*ἄ. . . . αὐτῷ*' v. 2s; ut ap. Pherecyd. l. c. legitur, patera Solem una cum equis nocte per oceanum ab occasu ad ortum ferebat: *ὃ (τὸ δέπας) αὐτὸν ἐφόρει σὺν ταῖς ἵπποις, ἐπὴν δύνῃ, διὰ τοῦ ὠκεανοῦ τὴν νύκτα πρὸς ἑῴην* | Hyperion est pater Solis ap. Hes. Theog. 134. 374; Hymn. Cer. 26, Sol ipse ap. Hom. praeter *μ* 176

6 (24 West)

STOB. 4, 38 (π. ἰατρῶν καὶ ἰατρικῆς), 3, V 898 H. [SMA] *Μιμνέρμου Ναννοῦ ς* (*μιμνέρμου νάννου* MA *μιμν^e κ^τ ἰατρῶν* S)·

(in medicos)

⟨ ⟩ οἷα δὴ φιλοῦσιν {οἱ} ἰατροὶ λέγειν
τὰ φαῦλα μείζω καὶ τὰ δείν' ὑπὲρ φόβον,
πυργοῦντες αὐτούς.

7 (1 D.)

Τίς δὲ βίος, τί δὲ τερπνὸν ἄτερ χρυσέης Ἀφροδίτης;
  τεθναίην, ὅτε μοι μηκέτι ταῦτα μέλοι,
κρυπταδίη φιλότης καὶ μείλιχα δῶρα καὶ εὐνή,
  οἷ' ἥβης ἄνθεα γίνεται ἁρπαλέα

7 (I) STOB. 4, 20 (π. Ἀφροδίτης), 16, IV 439 H. [MA 1–10 S 1–2] *Μιμνέρμου*· ‖ (II) PLUT. De virt. mor. 6 p. 445f ἀκολάστων μὲν γὰρ αἵδε φωναί· [1–2] (sine poetae nomine) ‖ (III) APOSTOL. 16, 61c (Paroem. Gr. II 678, 17s) [1–2] ‖ 5 cf. HESYCH. ὀδυνηρόν· λυπηρόν. ἐπίπονον ‖ HOR. Ep. 1, 6, 65s *si, Mimnermus uti censet, sine amore iocisque nil est iucundum, vivas in amore iocisque*, cf. Porphyr. ad l. (235 Holder) *Mimnermus elegiarum scriptor fuit. amores plus incommodi quam gaudii habere demonstrat* (cf. Test. 2, 35 πολλὸν ἀνατλάς), SCHOL. φ ψ in Hor. ad l. (359 Botschuyver) *Mimnermus scriptor elegiorum fuit, qui dixit nihil esse iucundum sine amore et iocis concordans Epicureorum sectae.*

7 1 Simon. 584, 1 P. τίς γὰρ ἁδονᾶς ἄτερ θνατῶν βίος ποθεινός; | eodem cadit χρυσέης Ἀφροδίτης Γ 64, δ 14, Hes. Theog. 975 ‖ 2 τεθναίην in initio hexam. Theogn. 343 (Γ 102, Ζ 164, cf. Σ 98) | ταῦτα μέλει in fine pentam. Theogn. 612 ‖ 3 Ζ 161 κρυπταδίῃ φιλότητι (in initio hexam.) | φιλότητι καὶ εὐνῇ Γ 445 passim | Hymn. Ven. 10, 2 (Κυθέρεια) μείλιχα δῶρα δίδωσιν, Γ 54 δῶρ' Ἀφροδίτης ‖ 4 Ν 484 καὶ δ' ἔχει ἥβης ἄνθος, Tyrt. 7, 28 ὄφρ' ἐρατῆς ἥβης ἀγλαὸν ἄνθος ἔχῃ

6 *Μενάνδρου Φανίου* pro *Μιμνέρμου Ναννοῦς* falso Mein., Com. Graec. IV 217 (fr. 3) ‖ intercidisse versus Mimn. simul cum lemmate proximo recte censuit Bgk.; versus qui sequuntur ad poetam scaenicum pertinere videntur (Hense ad l.); Mimn. poetam tragicum finxit Nauck, Trag. Gr. Fragm.[2] 830, sed cf. Hense ad l. et Sn., Gesamm. Schr. 70; Trag. Gr. Fragm. I 246 ‖ 7 1 initium carminis De Falco, Emerita 152 | Pindarum Pyth. 8 Mimn. meminisse opinatur Segal | *δαί* utroque loco SM | βίος] χάρις (II) | ἄνευ (II) | χρυσῆς (I) (II) (III): corr. Br.[3] χρυσῆς plerique edd. sed cf. 10, 6 ‖ 2 *μέλει* (II) Urs., cf. Herm. ad Vig. 920 ‖ 3 κρυπτ. φιλ. 'occultus' vel 'secretus' vel 'minime pervulgatus' amor recte Dawson coll. Ξ 333ss; cf. etiam H. Fränkel, Dicht. 240 ('in heimlicher Kammer'). cave intellegas 'adulterus amor' coll. Ζ 161 | *μειλίχια* MA[1]: corr. Gesn.[2] | cf. εὐνή 5, 5 ‖ 4 *οἱ* M *εἰ* A: corr. Ahr. *οἷ'* Bgk.[4], D., alii alia | *γίγνεται* Vallic. gr. F 58 f. 199[v] (saec. XVI) | ἁρπαλέα 'optabilia' vel 'dulcia' cf. 5, 8 et Theogn. 1353s ἁρπαλέος … ἔρως

5 ἀνδράσιν ἠδὲ γυναιξίν· ἐπεὶ δ' ὀδυνηρὸν ἐπέλθῃ
γῆρας, ὅ τ' αἰσχρὸν ὁμῶς καὶ καλὸν ἄνδρα τιθεῖ,
αἰεὶ μὲν φρένας ἀμφὶ κακαὶ τείρουσι μέριμναι,
οὐδ' αὐγὰς προσορέων τέρπεται ἠελίου,
ἀλλ' ἐχθρὸς μὲν παισίν, ἀτίμαστος δὲ γυναιξίν·
10 οὕτως ἀργαλέον γῆρας ἔθηκε θεός.

8 (2 D.)

ἡμεῖς δ' οἷά τε φύλλα φύει πολυάνθεμος ὥρη
ἔαρος, ὅτ' αἶψ' αὐγῇς αὔξεται ἠελίου,

8 Stob. 4, 34 (π. τοῦ βίου ὅτι βραχύς κτλ.), 12, V 827s H. [SMA] Μιμνέρμου· [1–16]

5 idem exordium τ 408, Theogn. 1067 || 5s Pind. Paean. 1, 1 Sn.-Maehl. ὀδυνηρὰ γήραος, cf. Gent., Lirica gr. arc. 73. 99 || 7 O 61 αἳ (ὀδύναι) νῦν μιν τείρουσι κατὰ φρένας, Hes. Op. 178 χαλεπὰς δὲ θεοὶ δώσουσι μερίμνας || 8 Θ 480s οὔτ' αὐγῇς Ὑπερίονος Ἠελίοιο τέρποντ' οὔτ' ἀνέμοισι || 9 Tyrt. 7, 29 ἐρατὸς δὲ γυναιξί (in fine hexam.) || 10 λ 101 τὸν (νόστον) δέ τοι ἀργαλέον θήσει θεός || 8 1 Z 146ss οἵη περ φύλλων γενεή, τοίη δὲ καὶ ἀνδρῶν (Simon. fr. dub. 8 West = Semon. 29 D.) | Alc. 286, 2 L.-P. = 286 Voigt πο]λυανθέμῳ [ἦρος (vel ἔαρος coni. Page, S. a. A. 289), Pind. Ol. 13, 17 Ὧραι πολυάνθεμοι || 2 Timoth. 804 P. ὅτ' αὔξεται ἡλίου αὐγαῖς, Peek, G. V. 1600, 1s ὅτ' αὐγὰς ὄμμασιν ἠελίο ζῶντες ἐδερκόμεθα (Athenis circ. 410 a. C.) (cf. Gent., Epigramma 76)

5 ἐπεί τ' MA: tacite corr. Gesn.[2] ἐπὴν δ' Br.[3] fort. recte, cf. ἐπήν 5, 3 | ἀδυνηρὸν M | ὀδυν. 8, 12 | ἐπέλθοι M Vallic. gr. F 58 || 6 ὅυτ A υ del. A[2] | ὁμῶς καὶ κακὸν tacite Herm. quod 'nescio utrum ipsi auctori an typothetarum incuriae debeatur' (Bach 30), falso defendunt Hi.-Cr., D., West; ὅμως καὶ καλὸν Doederlein, prob. Verdenius coll. Soph. O. C. 958, Plat. Phd. 91c–d: quae coniecturae sunt improbandae, recte se habet codd. lectio ut viderunt veteres edd.; intelligendum 'quae (senectus) facit et pulchros turpibus esse pares' (Grot. 242) vel 'quae peraeque vel pulchrum virum deformem reddit' (Bach l. c.), vid. etiam Bgk.[4] qui confert Xenoph. Agesil. 11, 12, Huds.-Will. 91, H. Fränkel, Dicht. 240, adn. 4 | cf. 1, 6; ad καλόν vid. 9 || 7 ἀεὶ M | μιν Bgk. ex O 61, alii. sed ad ellipsin pronominis cf. Z 255s ἦ μάλα δὴ τείρουσι (scil. σε vel ἡμᾶς) ... μαρνάμενοι | τείνουσι M Vallic. gr. F 58 | ad κ. ... μέριμν. cf. 8, 11ss et Stesich. P. Lille 76a II + 73 I 26 (201) edd. G. P. Ancher, B. Boyaval, C. Meillier, CRIPEL 4, 1976, 297 μὴ χαλεπὰς ποίει μερίμνας, cf. etiam C. Meillier, Zeitschr. f. Pap. u. Epigr. 26, 1977, 3 et Parsons ibid. 15 || 8 προσορῶν MA: προσορέων dub. West προσορᾶν Grot. quod Br.[3] recte typothetae imperitiae tribuit || 9 ἔρωτα παιδικόν recte intellegit Lavagnini, cf. Test. 2. 13, Sol. 18, 5 (Defradas). ad Venerem puerorum amoribus faventem vid. Theogn. 1332 passim, Pind. fr. 123, 6 Sn.-Maehl. | cf. 1,6 || 10 finis carminis ut videtur | ἀργ. γ. 1, 4s; 8, 6 | θεός cf. Ζεύς 8, 16 et Wil., Glaube I 350 || 8 1 πολυάνθεος A πολυανθέος Bgk. ad Hymn. Pan. 17 ἔαρος πολυανθέος, sed cf. Alc. et Pind. ll. cc. | ὥρῃ Bgk. || 2 ἦρος Urs., alii | ἂψ Br.[2] prob. Bach | ἄτ' ... ἄζεται Zacher 3 (ἄζ. iam Schndw.) prob. Hart. | αὐγῇ codd.: corr. Schndw. αὐγαῖς Sitzl. | eodem cadit 7, 8

τοῖσ᾽ ἴκελοι πήχυιον ἐπὶ χρόνον ἄνθεσιν ἥβης
τερπόμεθα, πρὸς θεῶν εἰδότες οὔτε κακόν
οὔτ᾽ ἀγαθόν· Κῆρες δὲ παρεστήκασι μέλαιναι, 5
ἡ μὲν ἔχουσα τέλος γήραος ἀργαλέου,
ἡ δ᾽ ἑτέρη θανάτοιο· μίνυνθα δὲ γίνεται ἥβης
καρπός, ὅσον τ᾽ ἐπὶ γῆν κίδναται ἠέλιος.
αὐτὰρ ἐπὴν δὴ τοῦτο τέλος παραμείψεται ὥρης,
αὐτίκα τεθνάμεναι βέλτιον ἢ βίοτος· 10
πολλὰ γὰρ ἐν θυμῷ κακὰ γίνεται· ἄλλοτε οἶκος
τρυχοῦται, πενίης δ᾽ ἔργ᾽ ὀδυνηρὰ πέλει·
ἄλλος δ᾽ αὖ παίδων ἐπιδεύεται, ὧν τε μάλιστα
ἱμείρων κατὰ γῆς ἔρχεται εἰς Ἀΐδην·
ἄλλος νοῦσον ἔχει θυμοφθόρον· οὐδέ τίς ἐστιν 15
ἀνθρώπων, ᾧ Ζεὺς μὴ κακὰ πολλὰ διδοῖ.

3 Tyrt. 10, 79 τοῖς ἴκελοι (in initio hexam.) || 4s Simon. c. 4–9 πάρεστι γὰρ ἐλπὶς ἑκάστῳ ἀνδρῶν, ἥ τε νέων στήθεσιν ἐμφύεται. θνητῶν δ᾽ ὄφρα τις ἄνθος ἔχῃ πολυήρατον ἥβης, κοῦφον ἔχων θυμὸν πόλλ᾽ ἀτέλεστα νοεῖ· οὔτε γὰρ ἐλπίδ᾽ ἔχει γηρασέμεν οὔτε θανεῖσθαι, οὐδ᾽, ὑγιὴς ὅταν ᾖ, φροντίδ᾽ ἔχει καμάτου || 5 *M* 326s κῆρες ἐφεστᾶσιν θανάτοιο μυρίαι | κῆρες ... μέλ. Hom. passim, Tyrt. 8, 5s || 7s Pind. Ol. 6, 58 καρπὸν Ἥβας cf. Pyth. 9, 109s || 8 *H* 451 κλέος ἔσται ὅσον τ᾽ ἐπικίδναται ἠώς || 9 Hes. Op. 409 ἡ δ᾽ ὥρη παραμείβηται || 10 *Σ* 98 αὐτίκα τεθναίην (in initio hexam.) | Friedl.-Hoffl. 134, 2 (= Raubitschek, Dedications from the Ath. Akrop., Cambridge 1949, 224, 2) λõι[ο]ν᾽ hέχ[ει βίοτον] (Athenis saec. VI/V), cf. Gent., Epigramma 79 || 11s *α* 248 al. (μνηστῆρες) τρύχουσι δὲ οἶκον || 12 Sol. 1, 41 πενίης ... ἔργα || 14 idem exitus Tyrt. 9, 38 (Sol. 18, 8, Theogn. 726) || 16 *δ* 236s ἀτὰρ θεὸς ἄλλοτε ἄλλῳ Ζεὺς ἀγαθόν τε κακόν τε διδοῖ

3 πήχυιον hic primum invenitur || 4s πρὸς θεῶν ... ἀγαθόν: iuvenes dum viget aetas nec bona iuventae, quibus gaudent (τερπόμεθα), nec mala imminentis (παρεστήκασι, cf. 1, 5 ὑπερκρέμαται) senectutis, deorum voluntate, sciunt, vid. Simon. l. c.; Perrotta–Gent. 38; Giannini, Quad. Urb. 25, 1977, 23ss; alii aliter explicaverunt || 5 παρεστήκασιν M || 6 cf. 7, 10 || 7s μίνυνθα ... ἠ. κ. cf. 1, 3s || 7 γίγνεται Regin. gr. 146 f. 130r (saec. XVI) || 8 κῐδνᾱται M || 9 παραμεῖψαι MA παραμείψεαι Cobet, sed cf. 9, 1 || 10 δὴ τεθνάναι SA δὴ τεθνᾶναι M Regin. gr. 146: τεθνάμεναι recte Bach prob. Bgk., cf. 7, 2 τεθναίην ut semper ap. Hom. τεθνᾶναι falso Steph. et Schneider, immerito defendit Ahr.; supplevere δή, postquam τεθνάναι pro τεθνάμεναι legi coeptum est correptione attica (Sitzl.) || 11s ad rem cf. 11, 1 || 11 γίγνεται A | ἄλλοτε τ᾽ SM ἄλλοτε δ᾽ Grot., Br. ἄλλοθεν Bach || 12 περιης M περὶ ἧς A | ὀδυν. cf. 7, 5 || 14 ἵμείνων M || 15 ad θυμοφθόρον Römisch 58, adn. 1 qui confert *δ* 716, Hes. Op. 717 || 16 Ζεύς cf. Tyrt. 8, 2 | διδοῖ Paris. 1985 f. 371r (saec. XVI), Regin. gr. 146 et fort. S^{ac} διδῶ MAS^{pc} | finis carminis ut videtur, cf. 7, 10 ἔθηκε θεός

9 (3 D.)

τὸ πρὶν ἐὼν κάλλιστος, ἐπὴν παραμείψεται ὥρη,
οὐδὲ πατὴρ παισὶν τίμιος οὔτε φίλος.

10 (11 D.)

οὐδέ κοτ' ἂν μέγα κῶας ἀνήγαγεν αὐτὸς Ἰήσων
ἐξ Αἴης τελέσας ἀλγινόεσσαν ὁδόν,
ὑβριστῇ Πελίῃ τελέων χαλεπῆρες ἄεθλον,
οὐδ' ἂν ἐπ' Ὠκεανοῦ καλὸν ἵκοντο ῥόον
*
5 *Αἰήταο πόλιν, τόθι τ' ὠκέος Ἠελίοιο*
ἀκτῖνες χρυσέῳ κείαται ἐν θαλάμῳ
Ὠκεανοῦ παρὰ χείλεσ', ἵν' ᾤχετο θεῖος Ἰήσων.

9 Stob. 4, 50 (*ψόγος γήρως*), 32, V 1036 H. [SMA] *Μιμνέρμου* (SM *μενάνδρου* A *μιμέρμνου* Tr.)· [1–2] || **10** Strab. 1, 2, 40 p. 46–47 (I 95s Sbordone) *εἰ δ', ὥσπερ ὁ Σκήψιός* (fr. 50 Gaede) *φησι παραλαβὼν μάρτυρα Μίμνερμον, ὃς ἐν τῷ ὠκεανῷ ποιήσας τὴν οἴκησιν τοῦ Αἰήτου πρὸς ταῖς ἀνατολαῖς ἐκτὸς πεμφθῆναί φησιν ὑπὸ τοῦ Πελίου τὸν Ἰάσονα καὶ κομίσαι τὸ δέρος, οὔτ' ἂν ἡ ἐπὶ τὸ δέρος ἐκεῖσε πομπὴ πιθανῶς λέγοιτο εἰς ἀγνῶτας καὶ ἀφανεῖς τόπους, οὔθ' ὁ δι' ἐρήμων καὶ ἀοίκων καὶ καθ' ἡμᾶς τοσοῦτον ἐκτετοπισμένων πλοῦς οὔτ' ἔνδοξος οὔτε πασιμέλων*· [1–4], *καὶ ὑποβάς*· [5–7]

9 1 Theogn. 483 *τὸ πρὶν ἐὼν σώφρων* | Hes. Op. 409 *ἡ δ' ὥρη παραμείβηται* || 2 *κ* 38 *φίλος καὶ τίμιος* || **10** 1 Apoll. Rhod. 3, 2s *ἀνήγαγε κῶας Ἰήσων Μηδείης ὑπ' ἔρωτι* || 2 cf. Xenophan. 2, 4 *ἀλγινόεσσαν ἔχων* (in alt. hem. pentam.) || 3 Hes. Theog. 996 *ὑβριστὴς Πελίης* (in initio hexam.) | Hes. Theog. 994 *τελέσας στονόεντας ἀέθλους* (de Iasone) || 6 *Δ* 143 *κεῖται δ' ἐν θαλάμῳ* (in initio hexam.)

9 1 *ὥρην* Urs. ex 'aliquibus codicibus', probb. Nauck et Hart., sed cf. 8, 9 adn. et Hes. Op. l. c. || 2 *παισὶν* 'filii', at 'pueri' 7, 9 | *φίλοις* Urs., prob. Bgk.[4] || **10** ad rem cf. Kaib. 510; Wil., S. u. S. 279, adn. 2 et Hellen. Dicht. II 205 qui versus a Nannone desumptos esse censent; Gent., Maia 1965, 380 || 1 *οὐδ' ὁκόταν* codd.: corr. Porson | *μετὰ* codd.: corr. Br., cf. *τ* 58, Apoll. Rhod. 4, 439 *μέγα κῶας* | *αὐτὸς* scil. nisi Medeae amor eum adiuvisset (Kaib., Wil., West), cf. Apoll. Rhod. 3, 3 *Μηδείης ὑπ' ἔρωτι* | *αὖτις* frustra temptavit Hecker coll. *Ο* 29 *ἀνήγαγον αὖτις* || 2 ad *Αἶα* cf. Lesky 24ss | *ἀνύσας* proposuit Bgk. cui displicet repetitio vocabuli *τελέσας – τελέων*, sed cf. *κ* 490 *ὁδὸν τελέσαι* | Apoll. Rhod. 4, 191s *ἀλεγεινὴν ναυτιλίην* || 3 *Πελίῃ τε ἑλὼν* Mein. | *χαλεπῆρες* edd. plerique *χαλεπηρές* Koraës, Bach. vocabulum aliunde non cognitum || 5 eodem cadit 23, 11, cf. Anth. P. 7, 466, 6 (Leonidas) *ὠκ. ἠελίου* in ex. pentam. || 6 *χρύσεοι* immerito Hecker, cf. 5, 5–7 *εὐνή ... χρυσέου τιμήεντος*, Stesich. 185 P. = S. L. G. 17 P. *δέπας ... χρύσεον*, Antimach. fr. 66 Wyss = 66 West *χρυσέῳ ἐν δέπαϊ* | ut thalamum finxit *δέπας* Mimn. itemque *εὐνήν* in 5, 5 || 7 *χείλεσιν* codd.: *χείλεσ' ἵν'* Ald., probb. Bach, Edm., Sbordone *χεῖλος, ἵν'* Bgk. alii; ad elisionem in caes. cf. ex. gr. *Γ* 306 *τλήσομ' ἐν*, Sol. 12, 5 *ἐξάραντ'* ⟨*οὐ*⟩, Xenophan. 6, 4 *μηδὲ ῥάπιζ', ἐπεὶ* (Huds.-Will.) | *δ* 821 *ἵν' οἴχεται* in eadem positione

11 (6 D.)

αἲ γὰρ ἄτερ νούσων τε καὶ ἀργαλέων μελεδωνέ͜ων
ἑξηκονταέτη μοῖρα κίχοι θανάτου.

12 (7 D.)

τὴν σαυτοῦ φρένα τέρπε· δυσηλεγέων δὲ πολιτέ͜ων
ἄλλος τίς σε κακῶς, ἄλλος ἄμεινον ἐρεῖ.

13 (9 D.)

καί μιν ἐπ' ἀνθρώπους βάξις ἔχει χαλεπή.
*
ἀργαλέης αἰεὶ βάξιος ἱέμενοι

11 (I) Diog. Laert. 1, 60 φασὶ δ' αὐτὸν (scil. Σόλωνα) καὶ Μιμνέρμου γράψαντος· [1–2] ἐπιτιμῶντα αὐτῷ εἰπεῖν· [Sol. 26] || (II) Apostol. 1, 60b (Paroem. Gr. II 256, 25) || 12 (I) Anth. P. 9, 50 Μιμνέρμου· παραίνεσις εἰς τὸ ἀνέτως ζῆν· [1–2] || (II) Anth. Pl. 1a 87 (εἰς φροντίδας), 2 Μιμνέρμου· [1–2] || (III) Sylloge Euphemiana 46 μνημέρμου· [1–2] || (IV) Cod. 95 mon. S. Nicanoris Zavordae, f. 200 (Szád.-Kardoss, Acta ant. 1962, 247) Μιμνέρμου εἰς τὸν βίον· [1–2] || (V) Theogn. 795s praemisso μήτε τινὰ ξείνων δηλεύμενος ἔργμασι λυγροῖς μήτε τιν' ἐνδήμων, ἀλλὰ δίκαιος ἐών, [1–2] quod Bach, Bgk.[4] alii Mimnermo vindicaverunt || 13 (I) Et. Gen. (35 Calame; G. Berger, Etymol. Gen. et Etymol. Simeonis, Meisenheim am Glan 1972, 19) [AB] s. v. βάξις· σημαίνει δὲ τὴν φήμην καὶ τὴν ῥῆσιν· Μίμνερμος· [1. 2] παρὰ τὸ βάζω, βάξω, βάξις || (II) Et. M. 187, 45

11 1 αἲ γὰρ Hom. saepe (in initio hexam.) | Hymn. Ap. 532s μελεδῶνας ... ἀργαλέους τε πόνους || 2 Sol. 26, 4 ὀγδωκονταέτη μοῖρα κίχοι θανάτου, Callin. 1, 15 μοῖρα κίχεν θανάτου, alii; ad inscriptiones cf. Gent., Epigramma 74 || 12 1 Hymn. Merc. 565 σὴν αὐτοῦ φρένα τέρπε || 13 1 ω 94 πάντας ἐπ' ἀνθρώπους κλέος ἔσσεται ἐσθλόν

11 cf. Sol. 26. anno fere 610 a. C. ita locutum esse Mimn. merito censuit Szád.-Kardoss (Egyet. philol. közl. 1942, 80s); nam eodem fere tempore Solo in itineribus suis iam Asiam attigerat; vid. etiam Test. 1 et fr. 20; ad peregrinationes quas Solo iuvenis suscepit vid. Reeker 96ss || 1 νούσων καὶ ... μελεδωνέων scil. senectutis cf. 7, 7; 8, 11ss | ἀργ. saepius, cf. 1, 5; 7, 10 (γῆρας); 8, 6 (γήραος); 1, 2 (θανάτου); 13, 2 (βάξιος); 3, 4 (ὕβριος) | μελεδώνων codd.: corr. Cobet, probb. D., West μελεδωνῶν Bgk. μελεδών quamvis satis habeat auctoritatis (Hes. Op. 66 μελεδώνας, v. l. -δῶνας, Hymn. Ap. 532, Hymn. Merc. 447, Theogn. 883) recentis tamen aetatis esse videtur; codd. τ 517 exhibent μελεδῶνες et μελεδῶναι || 12 1 cf. Wil. S. u. S. 285 | σὴν αὐτοῦ Renner (ap. Curtius, Stud. I 1, 203) coll. Hymn. Merc. c., prob. West, sed cf. Bgk.[4] adn. | πολιτῶν codd.: corr. Renner, probb. D., West || 2 τοισε, τοῖσδε codd. Theogn. | ἀμείνον' (I) ἀμεῖνον (V) O || 13 1 βάξεις ἔχει (I) A φάξις εἶχε (I) B || 2 ἀεὶ (I) (II) v. l. | βάξειος (I) A recte Cal., ut ipsi inspeximus, haud recte Berger qui βάξιος legit | ἀργ. cf. 11, 1 adn.

14 (25 West)

Stob. 4, 57 (ὅτι οὐ χρὴ παροινεῖν εἰς τοὺς τετελευτηκότας), 11, V 1139 H. [SMA] Μιμνέρμου (S μιμνέρμου ἐκ νεοπτολέμου MA)·

(de mortuis nil nisi bene)

< > ἐκ Νεοπτολέμου·
δεινοὶ γὰρ ἀνδρὶ πάντες ἐσμὲν εὐκλεεῖ
ζῶντι φθονῆσαι, κατθανόντα δ' αἰνέσαι.

15 (14 D.)

Παίονας ἄνδρας ἄγων, ἵνα τε κλειτὸν γένος ἵππων

16 (18 West)

Athen. 4, 174a Δημήτριος δ' ὁ Σκήψιος (fr. 14 Gaede) ἐν ἑκκαιδεκάτῳ Τρωικοῦ διακόσμου ἐν τῇ Λακωνικῇ φησιν ἐπὶ τῆς ὁδοῦ τῆς καλουμένης Ὑακινθίδος ἱδρῦσθαι ἥρωας Μάττωνα καὶ Κεράωνα ὑπὸ τῶν ἐν τοῖς φιδιτίοις ποιούντων τε τὰς μάζας καὶ κεραννύντων τὸν οἶνον διακόνων· ὁ δ' αὐτὸς ἱστορεῖ κἀν τῷ τετάρτῳ καὶ εἰκοστῷ τῆς αὐτῆς πραγματείας Δαίτην ἥρωα τιμώμενον παρὰ τοῖς Τρωσίν, οὗ μνημονεύει⟨ν⟩ Μίμνερμον | cf. Eust. in Od. p. 1413, 23

17 (22 West)

Schol. Lycophr. Alex. 610 (206, 28 Scheer) Τροιζηνία ἡ Ἀφροδίτη. ἱδρύσατο δὲ αὐτὴν Τροιζηνίαν καλουμένην ἡ Φαίδρα, ἡνίκα ἠράσθη τοῦ Ἱππολύτου. ἡ δὲ Ἀφροδίτη, καθά φησι Μίμνερμος, ὑπὸ Διομήδους τρωθεῖσα παρεσκεύασε τὴν Αἰγιάλειαν πολλοῖς μὲν μοιχοῖς συγκοιμηθῆναι, ἐρασθῆναι δὲ καὶ ὑπὸ τοῦ Κομήτου τοῦ Σθενέλου υἱοῦ. τοῦ δὲ Διομήδους παραγενομένου εἰς τὸ Ἄργος ἐπιβουλεῦσαι (5)
αὐτῷ, τὸν δὲ καταφυγόντα εἰς τὸν βωμὸν τῆς Ἥρας διὰ νυκτὸς φυγεῖν σὺν τοῖς ἑταίροις καὶ ἐλθεῖν εἰς Ἰταλίαν πρὸς Δαῦνον βασιλέα, ὅστις αὐτὸν ⟨δόλῳ⟩ ἀνεῖλεν | cf.

15 Schol. T Π 287 (IV 230 Erbse) '[ὅς] Παίονας ἱπποκορυστάς'· Μίμνερμος· [1]

15 1 Φ 155 Παίονας ἄνδρας ἄγων δολιχεγχέας

14 intercidisse versus Mimn. monuerunt Mein. et Bgk. | ⟨ ⟩ supplendum est nomen poetae tragici (Hense ad l.), Archilochi (Bgk.); Mimn. poetam tragicum finxit Nauck, Trag. Gr. Fragm.[2] 829, sed cf. Hense ad l. et Sn., Gesamm. Schr. 70; Trag. Gr. Fragm. I 246 || 15 Paeones Troum socii in bello Troiano fuerunt (Β 848ss) et Teucrorum ex Troia coloni (Herodt. 5, 13), qua re de Paeonibus Mimnermum mentionem fecisse conicias in eadem elegia de Troicis rebus, ubi Daites commemorabatur, cf. 16 et Bach 47s | παιᾶνας cod.: corr. Bekker || 17 ad rem cf. Gent., Maia 1965, 380 || 3 μνήμερμος v. l., καὶ Ὅμηρος falso coni. West coll. Eust. verbis ἔνθα ᾤκησε ... καθά φησι καὶ Ὅμηρος, nam eum effugit quod ap. Eust. sequitur ἰστέον δὲ ὅτι ὁ μὲν ποιητὴς (Homerus) σώφρονά τε οἶδε τὴν τοῦ Διομήδους γυναῖκα τὴν Αἰγιάλειαν (cf. Ε 412ss), καὶ οὐδὲ διωχθῆναι τὸν Διομήδην ἱστορεῖ κτλ. || 4 ὑπὸ τοῦ nos coll. Schol. Hom. ὑπὸ iam Scheer: Ἱππολύτου et -τῳ Schol. Ἱππολύτῳ καὶ Tzetz. Ἱππολύτου secl. Jac. FGrHist 578 F 8 || 7 δόλῳ suppl. Scheer

Schol. *E* 412b (II 64s Erbse) *φασὶν Αἰγιάλειαν τὴν νεωτέραν τῶν Ἀδρηστίδων γυναῖκα Διομήδους οὖσαν σφόδρα αὐτὸν ἐπιποθεῖν καὶ ἀπολοφύρεσθαι καὶ κατὰ τὰς νύκτας. ὕστερον δὲ κατὰ μῆνιν Ἀφροδίτης πάσῃ τῇ νεολαίᾳ τῶν Ἀργείων αὐτὴν συγκωμάσαι, ἔσχατον δὲ καὶ Κομήτῃ τῷ Σθενέλου* (*σθενέλῳ τῷ κομήτου* codd.: corr. Schndw.), *ὃς ἦν ὑπὸ Διομήδους πιστευθεὶς τὰ κατ' οἶκον· ἥκοντα δὲ αὐτὸν μέλλων ἀνελεῖν ἐφείσατο διὰ τὸ καταφυγεῖν εἰς τὸν τῆς Ἀθηνᾶς βωμόν· ὅθεν αὐτὸν φυγόντα φασὶν ἥκειν εἰς †ἰβηρίαν† κἀκεῖ, ὡς μέν τινες, δολοφονηθῆναι ὑπὸ Δαύνου τοῦ βασιλέως, ὡς δὲ ἔνιοι, ἀπολέσθαι ὑπὸ Ἰουνίου τοῦ Δαύνου παιδὸς ἐν κυνηγεσίοις* | Eust. in Dionys. Perieg. 483 (GGM II 308, 10 Müller) *ἔνθα ᾤκησε Διομήδης, διωχθεὶς ἐκ τῆς πατρίδος Ἀφροδίτης χόλῳ, οἷα τρωθείσης ὑπ' αὐτοῦ ἐν τῷ κατὰ Τροίαν πολέμῳ, καθά φησι καὶ Ὅμηρος. ἰστέον δὲ ὅτι ὁ μὲν ποιητὴς σώφρονά τε οἶδε τὴν τοῦ Διομήδους γυναῖκα τὴν Αἰγιάλειαν, καὶ οὐδὲ διωχθῆναι τὸν Διομήδην ἱστορεῖ· ἄλλοι δὲ ἱστοροῦσιν ὡς ἡ Ἀφροδίτη ἐν τῷ καιρῷ τοῦ Τρωικοῦ πολέμου ἀνέπεισε τὴν Αἰγιάλειαν, ἣν καὶ κακόφρονα οὗτος* (scil. Dionysius) *καλεῖ, μιχθῆναι τῷ Σθενέλου υἱῷ Κομήτῃ. ὑφ' ὧν καὶ ἐξωσθεὶς μετὰ τὸν νόστον ὁ Διομήδης εἰς τριλλίστους ἢ τηλίστους Ἴβηρας ἦλθε πλανήτης, ἀλλὰ καὶ εἰς τὴν νῆσον ταύτην* (*ἡ Διομήδεια νῆσος*).

18 (19 West)

Aelian. V. H. 12, 36 *ἐοίκασιν οἱ ἀρχαῖοι ὑπὲρ τοῦ ἀριθμοῦ τῶν τῆς Νιόβης παίδων μὴ συνᾴδειν ἀλλήλοις. Ὅμηρος* (*Ω* 603) *μὲν ἓξ λέγει* ⟨*ἄρρενας*⟩ *καὶ τοσαύτας κόρας, Λᾶσος* (706 P.) *δὲ δὶς ἑπτὰ λέγει, Ἡσίοδος* (fr. 183 Merk.-West) *δὲ ἐννέα καὶ δέκα, εἰ μὴ ἄρα οὐκ εἰσὶν Ἡσιόδου τὰ ἔπη, ἀλλ' ὡς πολλὰ καὶ ἄλλα κατέψευσται αὐτοῦ. Ἀλκμὰν* (75 P.) *δὲ κ̅α̅ φησί, Μίμνερμος εἴκοσι, καὶ Πίνδαρος* (52n Sn.-Maehl.) *τοσούτους.*

19 (21 West)

Sallust. Argum. II in Soph. Ant. *στασιάζεται δὲ τὰ περὶ τὴν ἡρωίδα ἱστορούμενα καὶ τὴν ἀδελφὴν αὐτῆς Ἰσμήνην. ὁ μὲν γὰρ Ἴων* (740 P.) *ἐν τοῖς διθυράμβοις καταπρησθῆναί φησιν ἀμφοτέρας ἐν τῷ ἱερῷ τῆς Ἥρας ὑπὸ Λαοδάμαντος τοῦ Ἐτεοκλέους· Μίμνερμος δέ φησι τὴν μὲν Ἰσμήνην προσομιλοῦσαν Θεοκλυμένῳ ὑπὸ Τυδέως κατὰ Ἀθηνᾶς ἐγκέλευσιν τελευτῆσαι. ταῦτα μὲν οὖν ἐστιν τὰ ξένως περὶ τῶν ἡρωίδων ἱστορούμενα.*

20 (20 West)

Plut. De fac. in orbe lun. 19 p. 931e (V 3, 57 Hub.-Pohl.) *εἰ δὲ μή, Θέων ἡμῖν οὗτος τὸν Μίμνερμον ἐπάξει καὶ τὸν Κυδίαν* (715 P.) *καὶ τὸν Ἀρχίλοχον* (114 Tard. = 122 West), *πρὸς δὲ τούτοις τὸν Στησίχορον* (271 P.) *καὶ τὸν Πίνδαρον* (Paean. 9, 2–5 Sn.-Maehl.) *ἐν ταῖς ἐκλείψεσιν ὀλοφυρομένους· ἄστρον φανερώτατον κλεπτόμενον, καὶ μέσῳ ἄματι νύκτα γινομένην, καὶ τὴν ἀκτῖνα τοῦ ἡλίου σκότους ἀτραπὸν* ⟨*ἐσσυμέναν*⟩ *φάσκοντας.*

18 2 suppl. Hercher ‖ 5 *δέκα* codd.: *δὲ κ̅α̅* M. W. Haslam, Rh. Mus. 119, 1976, 192 ⟨*δὲ*⟩ *δέκα* Page ⟨*δ' ἐκκαὶ*⟩*δεκα* A. Allen, Rh. Mus. 117, 1974, 358s ‖ **20** 'incertum quid cuique tribuendum sit' Page, Stesich. 271 adn.; verba *ἄστρον ... κλεπτόμενον* ex Mimn., *μέσῳ ἄματι ... γινομέναν* ex Cydia vel Stesichoro petita cogitavit Bgk.[4]; sed vid. Pind. Paean. c. *ἄστρον ὑπέρτατον ἐν ἁμέρᾳ κλεπτόμενον* et *ἐπίσκοτον ἀτραπὸν ἐσσυμένα* | defectuum solis a. 648 a. C. et a. 585 a. C. priorem potius quam alterum vidit Mimn., cf. Test. 1 ‖ 4 *ἄστρον* Boeckh *τὸν* codd. ‖ 5 *ἅμα τὴν* codd.: corr. Leonicus ‖ 6 *σκότος* codd.: corr. B[1] | post *ἀτραπὸν* lac. 16 litt. E, 2 + 12 B: e Pindaro suppl. Adler

ΣΜΥΡΝΗΙΣ

21 (12A D.)

ὡς οἱ πὰρ βασιλῆος, ἐπε[ί ῥ'] ἐ[ν]εδέξατο μῦθο[ν],
ἤ[ιξ]αν κοίλη[ς ἀ]σπίσι φραξάμενοι.

22 (13 West)

(I) Paus. 9, 29, 4 *Μίμνερμος δὲ ἐλεγεῖα ἐς τὴν μάχην ποιήσας τὴν Σμυρναίων πρὸς Γύγην τε καὶ Λυδούς, φησὶν ἐν τῷ προοιμίῳ θυγατέρας Οὐρανοῦ τὰς ἀρχαιοτέρας Μούσας, τούτων δὲ ἄλλας νεωτέρας εἶναι Διὸς παῖδας* || (II) Comment. in Alcm., P. Oxy. 2390 saec. II p. C. fr. 2 col. II 28s = 5, 2 col. II 28s P. *Γῆς* 5 *[μὲν] Μούσα[ς] θυγατέρας ὡς Μίμνερμ[ος αὐ]τὰς ἐγε[νεαλόγησε* || (III) Schol. Pind. Nem. 3, 16b (III 43, 19 Drachm.) *ὁ μὲν Ἀρίσταρχος Οὐρανοῦ θυγατέρα τὴν Μοῦσαν δέδεκται, καθάπερ Μίμνερμος καὶ Ἀλκμὰν* (fr. c.) *ἱστοροῦσιν* | cf. Diod. 4, 7, 1 *ὀλίγοι δὲ τῶν ποιητῶν, ἐν οἷς ἐστι καὶ Ἀλκμάν* (5 P.), *θυγατέρας ἀποφαίνονται* (scil. *Μούσας*) *Οὐρανοῦ καὶ Γῆς*

INCERTAE SEDIS

23 (13 D.)

οὐ μὲν δὴ κείνου γε μένος καὶ ἀγήνορα θυμόν
τοῖον ἐμεῦ προτέρων πεύθομαι, οἵ μιν ἴδον

21 Comment. in Antimach., P. Univ. Mediol. 17 col. II 26 ed. A. Vogliano (I 51, tab. 1) *σ[.....]ιν δμω[ῇ]ισ' ἐνδέξεται* (Antimach. 180 Wyss)· *ἀντὶ τοῦ ἐπ[ιτ]άξῃ. Μίμνερμ[ος] δ' [ἐν] τῇ Σμυρν[η][ι]ίδι·* [1–2] || 23 Stob. 3, 7 (*π. ἀνδρείας*), 11, III 311 H. [MA] *Μιμνέρμου·* [1–11]

21 2 Tyrt. 10, 15 *]αι κοίλης ἀσπίσι φραξάμ[ενοι* || 23 1 Θ 238 *οὐ μὲν δή ποτέ φημι* (in initio hexam.) | λ 562 *δάμασον δὲ μένος καὶ ἀγήνορα θυμόν* || 1s Δ 289 *τοῖος ... θυμὸς* || 2 Ψ 790 *οὗτος δὲ προτέρης γενεῆς προτέρων τ' ἀνθρώπων*

21 1 ad *ὡς οἱ ... ἤ[ιξα]ν* cf. *B* 87. 459ss (Vogliano) | *βασιλεύς* est Gyges, cf. fr. 22 et Mazzarino, Il pensiero I 40 | *ῥ'* vel *τ'* Maas ap. ed. pr. spatio conveniens ut videtur | ad *ἐνδέξασθαι* cf. Hecat. FGrHist 1 F 27 Add. et *ἐν ... δέξατο* Hes. fr. 242 Merk.-West; *ἐνεδέξατο* ad *ἐνδέκνυμι* (= *ἐνδείκνυμι*) Ionum cf. Bechtel, Die Gr. Dial. III² 180; Thumb-Scherer, Handb. d. Gr. Dial. II 278 || 2 suppl. Vogliano qui etiam *ἤ[ισσο]ν* coni. | *κοίλῃι[σ'* Vogliano, Wyss, D. *κοίλῃι[ς* praeferimus cum West, cf. 8, 2 || 22 cf. fr. 21 et Herodt. 1, 14 (*Γύγης*) *ἐσέβαλε μέν νυν στρατιὴν καὶ οὗτος, ἐπείτε ἦρξε, ἔς τε Μίλητον καὶ ἐς Σμύρνην, καὶ Κολοφῶνος τὸ ἄστυ εἷλε* || 5 *αὐ]τὰς* suppl. W. S. Barrett, Gnomon 33, 1961, 689 || 23 an Smyrneidi hoc fr. adscribendum valde dubium, cf. Wil., S. u. S. 278, Pasquali 121s || 1s cf. Δ 399s, cf. Pasquali 120 || 1 *τοῦ μὲν δὴ κλεινόν* Hecker || 2 *ὅς μιν* Mein. (ed. Stob. IV, LVII) qui intellegit: 'tantam antiquiorum virtutem non audivi, qui viderim illum fortissime pugnantem' | *εἶδον* A

Λυδῶν ἱππομάχων πυκινὰς κλονέοντα φάλαγγας
Ἕρμιον ἂμ πεδίον, φῶτα φερεμμελίην·
τοῦ μὲν ἄρ᾽ οὔκοτε πάμπαν ἐμέμψατο Παλλὰς Ἀθήνη 5
δριμὺ μένος κραδίης, εὖθ᾽ ὅ γ᾽ ἀνὰ προμάχους
σεύαιθ᾽ αἱματόεν⟨τος ἐν⟩ ὑσμίνῃ πολέμοιο,
πικρὰ βιαζομένου δυσμενέων βέλεα.
οὐ γάρ τις κείνου δήων ἔτ᾽ ἀμεινότερος φώς
ἔσκεν ἐποίχεσθαι φυλόπιδος κρατερῆς 10
ἔργον, ὅτ᾽ αὐγῇσιν φέρετ᾽ ὠκέος ἠελίοιο

3 *E* 93 *πυκιναὶ κλονέοντο φάλαγγες* (in fine hexam.) || 4 *Ψ* 464 *Τρωικὸν ἂμ πεδίον* || 5 *δ* 693 *κεῖνος δ᾽ οὔ ποτε πάμπαν* (in caes. pentam.) (*λ* 528) | *N* 127s *ἃς* (scil. *φάλαγγας*) *οὔτ᾽ ἄν κεν Ἄρης ὀνόσαιτο . . . οὔτε κ᾽ Ἀθηναίη* || 6 *ω* 319 *δριμὺ μένος προὔτυψε* | *N* 760 *φοίτα ἀνὰ προμάχους* (in initio hexam.) || 7 *I* 650 *πολέμοιο . . . αἱματόεντος* || 8 *X* 206 *πικρὰ βέλεμνα* || 10 *Σ* 242 *φυλόπιδος κρατερῆς* (in initio hexam.) || 10s *Z* 492 *ἔργον ἐποίχεσθαι* (in initio hexam.) | *Π* 208 *φυλόπιδος μέγα ἔργον*

4 *ἑρίμιον* M *ἐρήμῑ̆* A[1] *η* del. m.[2] *ἕρμαιον* Paris. 1985 f. 252[r]: corr. Gesn.[2] | *φερ᾽ ἐμμελίην* M distinctionis signa del. A; *φερεμμ.* hic tantum invenitur, cf. Hom. *ἐυμμελίης* et Ps.-Hes. Scut. 13 *φερεσσακής* || 5 *τοῦ* in lac. A m. rec. | *κεν* Page, Proceed. Cambr. Philol. Soc. 1961, 68, cf. *N* 127, *P* 398 sed vid. v. 1 | *οὔποτε* MA: corr. Bach ad Callin. 1, 8, probb. Bgk.[1], D. *οὔποτε* Bgk.[2], West, sed cf. 10, 1 || 6 *ἔσθ᾽ ὅτ᾽* M *εὐθ᾽ ὅτ᾽* A: corr. Schndw. | *ἂν ἀπρομάχους* M || 7 *σεῦ ἠθ᾽* M *σεύηθ᾽* A: corr. Schndw. *σεύετο* Br.[1]; ad optativum iterat. cf. Ps.-Hes. Scut. 164 et Bacchyl. 13, 118s *εὖτ᾽ ἐν πεδίῳ κλονέω[ν] μαίνοιτ᾽ Ἀχιλλεύς* | *αἱματόεν* M *αἷματόεν* A: tacite suppl. Gesn. | *πολέμιον* (*οι* supra) A || 8 *βιαζόμενος* ed. Schowiana et plerique edd. qui textum, quod ad Mimn. elocutionem attinet, in peius mutaverunt; *βιαζομένου* MA recte defenderunt Stob. edd.: coniungendum cum *τοῦ μὲν* v. 5, cf. fr. 5 *τὸν μὲν* (v. 5) . . . *εὕδονθ᾽* (v. 8); ad sensum verbi *βιάζομαι* 'obstare', 'contemnere' recte contulit Huds.-Will., praeter Theocr. 22, 9, *Λ* 558 *ὄνος . . . ἐβιήσατο παῖδας*: asinus obstat pueris ut Aiax telis hostium (552) || 9 *δήων ἔπ᾽* (i. e. coram hostibus) Bgk.[4] qui iam antea *λῃῶν ἔτ᾽* scripserat *λῃῶν* probb. Wil., S. u. S. 277, D., sed cf. Björck 327 adn. 2. 341 qui tamen 'pugnantium' intellegit. *δήων* 'hostium' (scil. Lydorum v. 3) cf. *δ. ἄνδρα Z* 481 et Tyrt. 8, 30; 9, 12 | *ἐπαμεινότερος* coni. Wil. l. c. alii alia, sed nihil mutandum: *ἔτ᾽ ἀμεινότερος* 'multo etiam praestantior' (cf. *λ* 623s *οὐ γὰρ ἔτ᾽ ἄλλον . . . χαλεπώτερον*), i. e. tum nemo hostium multo praestantior quam ille: ignaviam atque inertiam suorum aequalium Mimn. tacite significare videtur. *ἀμεινότερος* fr. eleg. ad. 6a D.[3] (Sn., Gesamm. Schr. 68), ad formam compar. cf. *ἀρειότερον* Theogn. 548 || 10 *κραταιῆς* A || 11 sententia concludi videtur in pentam. qui deest, cuius initium *θαλπόμενος* acute coni. H. Fränkel (Dicht. 239 adn. 3) coll. Pind. Nem. 4, 13s | *αὐγαῖσι* M *-αῖσιν* A: corr. Bgk., cf. 8, 2 | *θέρετ᾽* Ahr., McKay 373, vid. Veneri 23 | *ὠκ. ἠελ.* cf. 10, 5

24 (15 D.)

Cod. Athous (M[1]) ed. Miller, Mélanges de littérature grecque 370, *ιζ'* et cod. Athen. 1083 ed. S. Kugéas ap. O. Crusius, Paroemiographica, Sitz.-Ber. Bay. Ak. 1910, 4, 15 = Corp. Paroem. Suppl. 1961, V *φασὶν* (*φησὶν* M et cod. Athen.: *φασὶν* Ps.-Diogenian. vid. infra) *ὅτι αἱ Ἀμαζόνες τοὺς γιγνομένους ἄρσενας ἐπήρουν ἢ σκέλος ἢ χεῖρα περιελόμεναι· πολεμοῦντες δὲ πρὸς αὐτὰς οἱ Σκύθαι καὶ βουλόμενοι πρὸς αὐτὰς σπείσασθαι, ἔλεγον ὅτι συνέσονται τοῖς Σκύθαις εἰς γάμον ἀπηρώτοις καὶ οὐ λελωβημένοις· ἀποκριναμένη δὲ πρὸς αὐτοὺς ἡ Ἀντιάνειρα, ἡγεμὼν τῶν Ἀμαζόνων, εἶπεν·* (hic desinit M) *ἄριστα χωλὸς οἰφεῖ· μέμνηται τῆς παροιμίας Μίμ⟨ν⟩ερμος.* codicem Athen. apographum esse cod. M demonstravit W. Bühler, Serta Turyniana, Urbana 1974, 419ss | cf. Ps.-Diogenian. 2, 2 (Paroem. Gr. I 196, 7ss) sine poetae nomine | Macar. 2, 40 (Paroem. Gr. II 147, 16ss) sine poetae nomine | Suda s. v. *ἄριστα* (I 351, 20 Adler)

°25 (26 West)

ὦ Ζεῦ πολυτίμηθ', ὡς καλαὶ νῷν αἱ γυναί

°25 (I) Anecd. Oxon. I 102, 7 Cramer (Epimer. in Hom.) = Herodian. *π. παθῶν* 128 (II 218, 2 Lentz) *γύναι· κατὰ ἀποκοπὴν τοῦ ξ· τὸ δὲ παρὰ Μιμνέρμῳ* (*μιμηέρμνω* cod.: corr. Cramer *Μενάνδρῳ* Mein.)· [1], *εἰ μὲν περισπάσεις* (*γυναῖ*), *ἀποκοπή* (*ἀποκοπὴν* cod.: tacite corr. Mein. *κατ' ἀποκοπὴν* Körte *ἀποκοπῇ* West) *ἐκ τοῦ γυναῖκες, εἰ δὲ ὀξύνεις ἐκ τῆς γυνή εὐθείας* || (II) Et. Gen. s. v. *Συρακοῦς* ed. Miller, Mélanges 275 sine poetae nomine *ὥσπερ καὶ τὸ* [1], *ἀποβολῇ τοῦ γυναῖκες, ἢ ἀπὸ τοῦ γυνή γυναί, ὡς μονή μοναί*

25 Aristoph. Equ. 1390 *ὦ Ζεῦ πολυτίμηθ', ὡς καλαί*

24 Mimn. auctorem in dubium vocaverunt Wil., S. u. S. 282, adn. 1, alii propter *οἰφεῖ* Doricae dialecti et verborum ordinem qui ad iambicum metrum accommodari videtur; iambos enim poetam composuisse valde dubites neque ullum probat testimonium (cf. Gent., Maia 1965, 386). quod ad *οἰφεῖ* attinet, cf. Archil. 219, 4 Tard. = 251, 5 West *οἰφολίῳ* (Szád.-Kardoss, Miscellanea I 272) in carmine quodam fortasse elegiaco occurrens. sed quomodo hoc proverbium Mimn. adumbraverit dici non potest, itaque ad iamb. metrum falso redigit D. (× — ∪ — × — *ἄριστα χωλὸς* ⟨*ὢν*⟩ | *οἰφεῖ*). proverbium ab Antianira Amazonum duce prolatum in elegis Smyrneidos fuisse crediderís; nam, ut tradit Strab. 14, 1, 4 p. 633–634, Smyrna, quae erat Amazon, postquam Ephesum occupaverat, nomen suum incolis et urbi dedit (de Ephesiis Smyrnaeis appellatis Callin. 2) ex qua Smyrnaei profecti intra Lelegum fines ingressi sunt ibique Smyrnam condiderunt, cf. Steph. Byz. s. v. *Σμύρνα, πόλις Ἰωνίας ... ὕστερον δὲ Σμύρνα προσηγορεύθη, ἀπὸ Σμύρνης Ἀμαζόνος κατασχούσης τὴν Ἔφεσον.* verisimile est Smyrnae conditae Amazonumque rerum poetam in Smyrneide mentionem fecisse; cf. *μεγάλη γυνή* (i. e. Smyrna) Test. 10 adn. || **25** cf. Men. fr. dub. 937 Körte-Thierf. | versum Mimn. adtribuendum censuit Sternbach 69s, Hermippo dubitanter Bgk.[4], poetae veteris comoediae Körte, Menandro recte Mein., Com. Graec. IV 327 (fr. 480) et Fileni 83ss; nam Mimn. et Men. nomina facile permutantur, cf. frr. 2; 9 | *πολυτίμητε* (I): tacite correxit Mein.

1) Lectiones cod. M comiter per litteras nobis communicavit W. Bühler.

°26

Ὦ ξεῖνε, φεῦγε τὸν χαλαζεπῆ τάφον
τὸν φρικτὸν Ἱππώνακτος, οὗ τε χὰ τέφρα
ἰαμβιάζει Βουπάλειον ἐς στύγος,
μή πως ἐγείρῃς σφῆκα τὸν κοιμώμενον,
ὃς οὐδ᾽ ἐν Ἅιδῃ νῦν κεκοίμικεν χόλον 5
σκάζουσι μέτροις ὀρθὰ τοξεύσας ἔπη.

26 (I) Anth. P. 7, 405 *Φιλίππου* P[1] *Μιμνέρμου οἱ δὲ Φιλίππου* c || (II) Anth. Pl. 3b 22, 5 sine poetae nomine

26 Mimn. propter temporum rationem abiudicandum, cf. 11 adn. || 3 *ἐς στύγος* (I) c (II) *ἐστυγός* (I) P[1] *ἐς τέγος* vel *ἐς στέγος* coni. Degani, Quad. Urb. 16, 1973, 94, adn. 37 = Poeti greci 118, adn. 39 || 5 *κεκοίμηκεν* (I)

SOLON

TESTIMONIA SELECTA VITAE ATQVE ARTIS[1]

Chronographia

1 (13 M.) Heraclid. Pont. fr. 131a Wehrli ap. Lact. Div. inst. 1, 6, 12

... octavam (*scil.* Sibyllam) Hellespontiam in agro Troiano natam, vico Marmesso circa oppidum Gergithium, quam scribat Heraclides Ponticus Solonis et Cyri fuisse temporibus ...

2 (7 M.) Diod. 9, 17 ap. Ulpian. ad Demosth. Timocr. p. 243b

ἰστέον ὅτι ὁ μὲν Σόλων ἐγένετο ἐπὶ τῶν χρόνων τῶν τυράννων ἐν ταῖς Ἀθήναις πρὸ τῶν Περσικῶν χρόνων, ὁ δὲ Δράκων πρὸ αὐτοῦ ἑπτὰ καὶ τεσσαράκοντα ἔτεσιν, ὥς φησιν ὁ Διόδωρος.

3 (8 M.) Flav. Ioseph. ap. Arsen. Viol. (309 Walz)

κατὰ δὲ Κῦρον Σόλων ὁ Ἀθηναῖος γέγονεν, καὶ οἱ κληθέντες ἑπτὰ σοφοὶ παρ᾽ Ἕλλησιν, ὧν παλαιότερος οὐδεὶς παρ᾽ αὐτοῖς φιλόσοφος μνημονεύεται. cf. Euseb. Praep. Ev. 10, 14, 9.

---

1) Referuntur huc, etsi ab A. Martina (= M.) iam collecta sunt, testimonia quae ad illustranda fragmenta maxime valeant. accedunt alia quaecumque nosmet ipsi repperimus.

4 (34 M.) Plut. Sol. 32, 3

ἐπεβίωσε δ' οὖν ὁ Σόλων ἀρξαμένου τοῦ Πεισιστράτου τυραννεῖν, ὡς μὲν Ἡρακλείδης ὁ Ποντικὸς (fr. 148 Wehrli) *ἱστορεῖ, συχνὸν χρόνον, ὡς δὲ Φανίας ὁ Ἐρέσιος* (fr. 21 Wehrli), *ἐλάττονα δυεῖν ἐτῶν. ἐπὶ Κωμίου μὲν γὰρ ἤρξατο τυραννεῖν Πεισίστρατος, ἐφ' Ἡγεστράτου δὲ Σόλωνά φησιν ὁ Φανίας ἀποθανεῖν τοῦ μετὰ Κωμίαν ἄρξαντος.*

5 (18 M.) Ps.-Ammon. De diff. adfin. voc. 34 (10 Nickau)

ἅμα καὶ ὁμοῦ διαφέρει. ἅμα μὲν γάρ ἐστι χρονικὸν ἐπίρρημα, ὁμοῦ δὲ τοπικόν. Σόλων μὲν γὰρ ἅμα ἐγένετο Ἀναχάρσιδι τῷ Σκύθῃ, εἴπερ κατὰ τὸν αὐτὸν χρόνον ἤκμασαν, ὁμοῦ μέντοι οὐκέτι· οὐ γὰρ ἐν τῷ αὐτῷ τόπῳ ἐγεννήθησαν, ἀλλ' ὁ μὲν Ἀθήνησιν, ὁ δὲ ἐν Σκυθίᾳ. cf. Lucian. Anach. 14. 18 (Test. 127 a. b M.)

6 (10 M.) Gell. 17, 21, 4

Solonem ergo accepimus, unum ex illo nobili numero sapientium, leges scripsisse Atheniensium Tarquinio Prisco Romae regnante anno regni eius tricesimo tertio. Servio autem Tullio regnante Pisistratus Athenis tyrannus fuit Solone ante in exilium voluntarium profecto, quoniam id ei praedicenti non creditum est.

7 (12 M.) Theophil. Antioch. Ad Autolyc. 3, 23 (250 Otto)

ἀλλὰ καὶ οἱ νομοθέται πάντες μεταξὺ εὑρίσκονται νομοθετοῦντες. εἰ γάρ τις εἴποι Σόλωνα τὸν Ἀθηναῖον, οὗτος γέγονεν κατὰ τοὺς χρόνους Κύρου καὶ Δαρείου τῶν βασιλέων, κατὰ τὸν χρόνον Ζαχαρίου τοῦ προειρημένου προφήτου, μεταξὺ γεγενημένου πάνυ πολλοῖς ἔτεσιν.

8 (4 M.) Diog. Laert. 1, 62

ἤκμαζε μὲν οὖν περὶ τὴν τεσσαρακοστὴν ἕκτην ὀλυμπιάδα (596 a. C.), *ἧς τῷ τρίτῳ ἔτει ἦρξεν Ἀθήνησι, καθά φησι Σωσικράτης* (FHG IV 501 s), *ὅτε καὶ τίθησι τοὺς νόμους. ἐτελεύτησε δ' ἐν Κύπρῳ βιοὺς ἔτη ὀγδοήκοντα.* cf. Clem. Alex. Strom. 1, 65, 3.

9 (11 M.) Ps.-Lucian. Macrob. 18

Σόλων δὲ καὶ Θαλῆς καὶ Πιττακός, οἵτινες τῶν κληθέντων ἑπτὰ σοφῶν ἐγένοντο, ἑκατὸν ἕκαστος ἔζησεν ἔτη.

10 (3b M.) Euseb. Praep. Ev. 10, 4, 10

συνομολογοῦσί γε τοι Ἕλληνες αὐτοὶ μετά γε Ὀρφέα Λίνον τε καὶ Μουσαῖον, οἳ δὴ πάντων μάλιστα θεολόγων παλαιότατοί τε καὶ πρῶτοι κατῆρξαν αὐτοῖς τῆς πολυθέου πλάνης, τοὺς ἑπτὰ παρ' αὐτοῖς ἄνδρας ἐπὶ σοφίᾳ θαυμασθῆναι, οὓς δὴ καὶ ἐπονομάσαι σοφούς. ἀμφὶ Κῦρον δὲ οἵδε τὸν Περσῶν ἤκμασαν βασιλέα.

11 (2 M.) Euseb. Praep. Ev. 10, 11, 33

Δράκων δὲ περὶ ὀλυμπιάδα τριακοστὴν καὶ ἐνάτην εὑρίσκεται γεγονώς, Σόλων περὶ τεσσαρακοστὴν καὶ ἕκτην (596 a. C.). cf. Tatian. Adv. Graec. 41.

12 (3a M.) Euseb. Praep. Ev. 10, 12, 29

Ὅμηρος δὲ καὶ Ἡσίοδος πολλῷ νεώτεροι τῶν Ἰλιακῶν, μεθ' οὓς μακρῷ νεώτεροι οἱ παρ' Ἕλλησι νομοθέται, Λυκοῦργός τε καὶ Σόλων ... cf. Clem. Alex. Strom. 1, 107, 5.

13 Hieronym. Chron. Praef. (13, 19ss Helm)

Homerus autem Solone et Thalete Milesio ceterisque, qui cum his septem sapientes appellati sunt, multo prior repperitur.

14 Hieronym. Chron. Ol. 46 (99b, 18ss Helm)

Solon Draconis legibus antiquatis extra eas, quae ad sanguinem pertinebant, sua iura constituit. cf. etiam Chron. Ol. 225 (198, 17ss Helm) et Georg. Syncell. Chronogr. 349 (I 659, 9 Dind.).

15 (5 M.) Schol. Plat. Resp. 10 p. 599e (271s Greene)

Σόλων Ἀθηναῖος ... Πεισιστράτου κατειπὼν μέλλοντος τυραννεῖν ἀπεδήμησεν διὰ τὴν ἐξ αὐτοῦ ἐπιβουλὴν εἰς Αἴγυπτον καὶ Κύπρον ... ἔτη δὲ γεγονὼς ὀγδοήκοντα ἐν Κύπρῳ τελευτᾷ.

16 (15 M.) Malal. Chronogr. 6, 194 (153, 13 Dind.)

ἐν οἷς (scil. *Κροίσου*) *χρόνοις Σόλων ἐφιλοσόφει.*

17 (111 M.) Georg. Syncell. Chronogr. 239 (I 453, 20 Dind.)

κατὰ ταύτους τοὺς χρόνους τοὺς παρ' Ἕλλησιν ἑπτὰ φιλοσόφους ἀκμάσαι λόγος. ὧν τὰ ὀνόματα Σόλων Ἀθηναῖος ..., Κλεόβουλος Λίνδιος.

18 (1 M.) Suda s. v. *Σόλων* (IV 396, 29 Adler)

Ἐξηκεστίδου, Ἀθηναῖος, φιλόσοφος, νομοθέτης καὶ δημαγωγός. γέγονε δὲ ἐπὶ τῆς μζʹ ὀλυμπιάδος (592 a. C.), *οἱ δὲ νςʹ* (556 a. C.).

19 Tzetz. in Aristoph. Nub. 180a (II 428, 5 Holwerda)

ὁ Θαλῆς οὗτος σοφὸς Μιλήσιος ἦν ἰσόχρονος τῇ τῶν σοφῶν ἑπτάδι τῇ κατὰ Σόλωνα.

Vita

20 (33 M.) Herodt. 1, 29, 2 – 30, 1

ὁρκίοισι γὰρ μεγάλοισι κατείχοντο δέκα ἔτεα χρήσεσθαι νόμοισι τοὺς ἄν σφι Σόλων θῆται. αὐτῶν δὴ ὦν τούτων καὶ τῆς θεωρίης ἐκδημήσας ὁ Σόλων εἵνεκεν ἐς Αἴγυπτον ἀπίκετο παρὰ Ἄμασιν καὶ δὴ καὶ ἐς Σάρδις παρὰ Κροῖσον. de Solonis peregrinationibus cf. □ Martina 11 et Test. 27–34.

21 (62 M.) Plat. Tim. p. 20e

ἦν μὲν οὖν (ὁ Σόλων) οἰκεῖος καὶ σφόδρα φίλος ἡμῖν Δρωπίδου τοῦ προπάππου, καθάπερ λέγει πολλαχοῦ καὶ αὐτὸς ἐν τῇ ποιήσει.

22 (25 M.) Plat. Charm. p. 157e

ἥ τε γὰρ πατρῴα ὑμῖν οἰκία, ἡ Κριτίου τοῦ Δρωπίδου, καὶ ὑπὸ Ἀνακρέοντος (fr. 180 Gent., 495 P.) *καὶ ὑπὸ Σόλωνος καὶ ὑπ' ἄλλων πολλῶν ποιητῶν ἐγκεκωμιασμένη παραδέδοται ἡμῖν, ὡς διαφέρουσα κάλλει τε καὶ ἀρετῇ καὶ τῇ ἄλλῃ λεγομένῃ εὐδαιμονίᾳ ...*

23 (36 M.) Val. Max. 5, 3 ext. 3 (240 Kempf)

iam Solon, qui tam praeclaras tamque utiles Atheniensibus leges tulit, ut, si his perpetuo uti voluissent, sempiternum habituri fuerint imperium, qui Salaminam velut hostilem arcem ex propinquo saluti eorum inminentem recuperavit, qui Pisistrati tyrannidem primus vidit orientem, solus armis opprimi debere palam dictitare ⟨est⟩ ausus, senectutem Cypri profugus exegit neque ei in patria, ⟨de⟩ qua optime meruerat, humari contigit.

24 (6 M.) Diod. 9, 1, 1

ἦν δὲ καὶ Σόλων πατρὸς μὲν Ἐξηκεστίδου, τὸ γένος ἐκ Σαλαμῖνος τῆς Ἀττικῆς, σοφίᾳ δὲ καὶ παιδείᾳ πάντας τοὺς καθ' ἑαυτὸν ὑπερβεβληκώς. φύσει δὲ πρὸς ἀρετὴν τῶν ἄλλων πολὺ διαφέρων ἐζήλωσεν

ἀρετὴν ἐπαινουμένην· πᾶσι γὰρ τοῖς μαθήμασι πολὺν χρόνον ἐνδιατρίψας ἀθλητὴς ἐγένετο πάσης ἀρετῆς. κατὰ μὲν γὰρ τὴν τοῦ παιδὸς ἡλικίαν παιδευταῖς ἐχρήσατο τοῖς ἀρίστοις, ἀνδρωθεὶς δὲ συνδιέτριψε τοῖς μεγίστην ἔχουσι δόξαν ἐπὶ φιλοσοφίᾳ. διὸ καὶ τούτοις ὁμιλῶν καὶ συνδιατρίβων ὠνομάσθη μὲν εἷς τῶν ἑπτὰ σοφῶν καὶ τὸ πρωτεῖον τῆς συνέσεως οὐ μόνον παρὰ τούτοις τοῖς ἀνδράσιν, ἀλλὰ καὶ παρὰ πᾶσι τοῖς θαυμαζομένοις ἀπηνέγκατο.

25 (26 M.) Plut. Sol. 1, 1ss

Δίδυμος ὁ γραμματικὸς (399 Schmidt) *ἐν τῇ περὶ τῶν ἀξόνων τῶν Σόλωνος ἀντιγραφῇ πρὸς Ἀσκληπιάδην Φιλοκλέους τινὸς τέθεικε λέξιν, ἐν ᾗ τὸν Σόλωνα πατρὸς Εὐφορίωνος ἀποφαίνει παρὰ τὴν τῶν ἄλλων δόξαν ὅσοι μέμνηνται Σόλωνος. Ἐξηκεστίδου γὰρ αὐτὸν ἅπαντες ὁμαλῶς γεγονέναι λέγουσιν, ἀνδρὸς οὐσίᾳ μὲν ὥς φασι καὶ δυνάμει μέσου τῶν πολιτῶν, οἰκίας δὲ πρώτης κατὰ γένος· ἦν γὰρ Κοδρίδης ἀνέκαθεν. τὴν δὲ μητέρα τοῦ Σόλωνος Ἡρακλείδης ὁ Ποντικὸς* (fr. 147 Wehrli) *ἱστορεῖ τῆς Πεισιστράτου μητρὸς ἀνεψιὰν γενέσθαι, καὶ φιλία τὸ πρῶτον ἦν αὐτοῖς πολλὴ μὲν διὰ τὴν συγγένειαν, πολλὴ δὲ διὰ τὴν εὐφυΐαν καὶ ὥραν, ὡς ἔνιοί φασιν ἐρωτικῶς τὸν Πεισίστρατον ἀσπαζομένου τοῦ Σόλωνος.*

26 (41 M.) Plut. Sol. 2, 1

ὁ δ' οὖν Σόλων, τὴν οὐσίαν τοῦ πατρὸς ἐλαττώσαντος εἰς φιλανθρωπίας τινάς, ὥς φησιν Ἕρμιππος (fr. 7 Wehrli), *καὶ χάριτας, οὐκ ἂν ἀπορήσας τῶν βουλομένων ἐπαρκεῖν, αἰδούμενος δὲ λαμβάνειν παρ' ἑτέρων ἐξ οἰκίας γεγονὼς εἰθισμένης ἑτέροις βοηθεῖν, ὥρμησε νέος ὢν ἔτι πρὸς ἐμπορίαν. καίτοι φασὶν ἔνιοι πολυπειρίας ἕνεκα μᾶλλον καὶ ἱστορίας ἢ χρηματισμοῦ πλανηθῆναι τὸν Σόλωνα.*

De urbis Solorum conditore

27 (221 M.) Hecat. FGrHist 1 F 268 ap. Steph. Byz. 581, 12

Σόλοι· Κιλικίας πόλις ... Ἑκαταῖος Ἀσίᾳ. κέκληται δὲ ἀπὸ Σόλωνος, ὡς Εὐφορίων ἐν Ἀλεξάνδρῳ (fr. 1 Powell)... *Διονύσιος δὲ ἐν τρίτῳ Βασσαρικῶν* (fr. 13 Livrea) *Σώλειαν λέγει...*

28 (222 M.) Herodt. 5, 113, 2

τετραμμένου δὲ τοῦ στρατοπέδου ἄλλοι τε ἔπεσον πολλοί, ... καὶ ὁ Σολίων βασιλεὺς Ἀριστόκυπρος ὁ Φιλοκύπρου, Φιλοκύπρου δὲ

τούτου τὸν Σόλων ὁ Ἀθηναῖος ἀπικόμενος ἐς Κύπρον ἐν ἔπεσι αἴνεσε τυράννων μάλιστα.

29 (68 M.) Plut. Sol. 26, 1 ss

πρῶτον μὲν οὖν εἰς Αἴγυπτον ἀφίκετο, καὶ διέτριψεν, ὡς αὐτός φησι [cf. fr. 10]. *χρόνον δέ τινα καὶ τοῖς περὶ Ψένωπιν τὸν Ἡλιοπολίτην καὶ Σῶγχιν τὸν Σαΐτην, λογιωτάτοις οὖσι τῶν ἱερέων, συνεφιλοσόφησε· παρ' ὧν καὶ τὸν Ἀτλαντικὸν ἀκούσας λόγον, ὡς Πλάτων* (Tim. 21 s, Critias 108 d) *φησίν, ἐπεχείρησε διὰ ποιήματος ἐξενεγκεῖν εἰς τοὺς Ἕλληνας· ἔπειτα πλεύσας εἰς Κύπρον ἠγαπήθη διαφερόντως ὑπὸ Φιλοκύπρου τινὸς τῶν ἐκεῖ βασιλέων, ὃς εἶχεν οὐ μεγάλην πόλιν, ᾠκισμένην ὑπὸ Δημοφῶντος τοῦ Θησέως περὶ τὸν Κλάριον ποταμὸν ἐν χωρίοις ὀχυροῖς μέν, ἄλλως δὲ δυσχερέσι καὶ φαύλοις κειμένην. ἔπεισεν οὖν αὐτὸν ὁ Σόλων, ὑποκειμένου καλοῦ πεδίου, μεταθέντα τὴν πόλιν ἡδίονα καὶ μείζονα κατασκευάσαι, καὶ παρὼν ἐπεμελήθη τοῦ συνοικισμοῦ καὶ διεκόσμησε πρός τε διαγωγὴν ἄριστα καὶ πρὸς ἀσφάλειαν, ὥστε πολλοὺς μὲν οἰκήτορας τῷ Φιλοκύπρῳ προσελθεῖν, ζηλῶσαι δὲ τοὺς ἄλλους βασιλεῖς. διὸ καὶ τῷ Σόλωνι τιμὴν ἀποδιδούς, Αἰπεῖαν τὴν πόλιν καλουμένην πρότερον ἀπ' ἐκείνου Σόλους προσηγόρευσε. καὶ αὐτὸς δὲ μέμνηται τοῦ συνοικισμοῦ· προσαγορεύσας γὰρ ἐν ταῖς ἐλεγείαις τὸν Φιλόκυπρον· 'νῦν δέ', φησί, 'σὺ μὲν'* ... [fr. 11].

30 (225 M.) Diog. Laert. 1, 51

φασὶ δέ τινες ὅτι κοσμήσας ἑαυτὸν ὁ Κροῖσος παντοδαπῶς καὶ καθίσας εἰς τὸν θρόνον ἤρετο αὐτὸν (i. e. *τὸν Σόλωνα*) *εἴ τι θέαμα κάλλιον τεθέαται· ὁ δὲ 'ἀλεκτρυόνας' εἶπε* '⟨*καὶ*⟩ (suppl. Cob.) *φασιανοὺς καὶ ταώς· φυσικῷ γὰρ ἄνθει κεκόσμηνται καὶ μυρίῳ καλλίονι'. ἐκεῖθέν τε ἀπαλλαγεὶς ἐγένετο ἐν Κιλικίᾳ, καὶ πόλιν συνῴκισεν ἣν ἀφ' ἑαυτοῦ Σόλους ἐκάλεσεν· ὀλίγους τέ τινας τῶν Ἀθηναίων ἐγκατῴκισεν, οἳ τῷ χρόνῳ τὴν φωνὴν ἀποξενωθέντες σολοικίζειν ἐλέχθησαν. καί εἰσιν οἱ μὲν ἔνθεν Σολεῖς, οἱ δ' ἀπὸ Κύπρου Σόλιοι.*

31 Exc. Vat. XXII (Myth. Gr. III 2, 99 Festa)

περὶ σολοικισμοῦ· ὅτι Σόλων μετὰ τὴν τοῦ Κροίσου ἐρώτησιν ἐν Κιλικίᾳ γεγονὼς Σόλους πόλιν ᾤκισεν, ἐν ᾗ καί τινας τῶν Ἀθηναίων κατῴκισεν, οἳ χρόνῳ βαρβαρωθέντες ἐλέγοντο σολοικίζειν, ἀφ' οὗ καὶ σολοικισμός.

32 (223 M.) a. Suda s. v. *Σόλων* (IV 397, 1ss Adler)

... ἀπεδήμησεν (*Σόλων*) *ἐν Κιλικίᾳ καὶ ἔκτισε πόλιν, ἣν Σόλους ἐκάλεσεν ἐξ αὐτοῦ. οἱ δὲ καὶ τοὺς ἐν Κύπρῳ Σόλους ἐξ αὐτοῦ φασι καὶ τελευτῆσαι αὐτὸν ἐν Κύπρῳ.*

b. Suda s. v. *Σόλοι* (IV 397, 29ss Adler)

Σόλοι, πόλις Σικελίας καὶ Κύπρου· ἀφ' ὧν ὁ σολοικισμός· βαρβαρίζοντες κατὰ τὴν ἰδίαν γλῶσσαν. Σόλων δὲ ταύτην κτίζει, ἀφ' οὗ τὴν ἐπωνυμίαν ἴσχει.

33 (228 M.) Et. M. 721, 45

Σόλοι· ἡ ἐν Κύπρῳ πόλις. Πλούταρχος ἐν Σόλωνι (26, 3), *ἀπὸ Σόλωνος τοῦ Ἀθηναίων νομοθέτου· διὸ καὶ τῷ Σόλωνι τιμὴν ἀποδιδοὺς Αἰπεῖαν τὴν πόλιν καλουμένην πρότερον ἀπ' ἐκείνου Σόλους προσηγόρευσε.*

34 (226 M.) Eust. in Il. p. 1332, 3

... δῆλον δ' ὅτι Σόλος καὶ πόλεως ὄνομα, ἧς οἱ πολῖται Σολεῖς. ἦσαν δὲ καὶ Κύπριοι Σόλοι, ὧν ἱστορεῖται βασιλεὺς Εὔνοστος, ὁμώνυμος Εὐνόστῳ, δαίμονι ἐπιμυλίῳ, περὶ οὗ καὶ ἀλλαχοῦ εἴρηται. ὡς δὲ καὶ ὁ σολοικισμὸς τοιαύτης Σόλου ἢ τοιούτων Σόλων ἐστὶ σύνθεσις, ἐν τοῖς τοῦ περιηγητοῦ κεῖται. δοκεῖ δὲ καὶ ὁ νομοθέτης Σόλων ἐκεῖθεν παρωνομάσθαι. cf. Eust. in Dionys. Perieg. 875 (GGM II 371 Müller) *ὅτι πόλις Κιλικίας καὶ οἱ Σόλοι, ἡ νῦν Πομπηιούπολις. λέγονται δὲ Σόλοι κατά τινας ἀπὸ Σόλωνος.* cf. etiam P. Berol. 13045 col. A 1, 9 (canones legis latorum: vid. p. 92).

De Salamine

35 (238 M.) Aeschin. 1, 25ss

καὶ οὕτως ἦσαν σώφρονες οἱ ἀρχαῖοι ἐκεῖνοι ῥήτορες, ὁ Περικλῆς καὶ ὁ Θεμιστοκλῆς καὶ ὁ Ἀριστείδης, ὁ τὴν ἀνόμοιον ἔχων ἐπωνυμίαν Τιμάρχῳ τουτῳί {*ὁ δίκαιος ἐπικαλούμενος*} (del. Blass), *ὥστε ὃ νυνὶ πάντες ἐν ἔθει πράττομεν, τὸ τὴν χεῖρα ἔξω ἔχοντες λέγειν, τότε τοῦτο θρασύ τι ἐδόκει εἶναι καὶ εὐλαβοῦντο αὐτὸ πράττειν. μέγα δὲ πάνυ τούτου σημεῖον ἔργῳ ὑμῖν οἶμαι ἐπιδείξειν. εὖ γὰρ οἶδ' ὅτι πάντες ἐκπεπλεύκατε εἰς Σαλαμῖνα καὶ τεθεωρήκατε τὴν Σόλωνος εἰκόνα, καὶ αὐτοὶ μαρτυρήσαιτ' ἂν ὅτι ἐν τῇ ἀγορᾷ τῇ Σαλαμινίων ἀνάκειται ὁ Σόλων ἐντὸς τὴν χεῖρα ἔχων. τοῦτο δ' ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι,*

ὑπόμνημα καὶ μίμημα τοῦ Σόλωνος σχήματος, ὃν τρόπον ἔχων αὐτὸς διελέγετο τῷ δήμῳ τῶν Ἀθηναίων. (26) *σκέψασθε δή, ὦ ἄνδρες Ἀθηναῖοι, ὅσον διαφέρει ὁ Σόλων Τιμάρχου καὶ οἱ ἄνδρες ἐκεῖνοι, ὧν ἐγὼ ὀλίγῳ πρότερον ἐμνήσθην. ἐκεῖνοι μέν γε ᾐσχύνοντο ἔξω τὴν χεῖρα ἔχοντες λέγειν, οὑτοσὶ δὲ οὐ πάλαι, ἀλλὰ πρώην ποτὲ ῥίψας θοἰμάτιον γυμνὸς ἐπαγκρατίαζεν ἐν τῇ ἐκκλησίᾳ …, ὥστε τούς γε εὖ φρονοῦντας ἐγκαλύψασθαι …* (27) *ἃ συνιδὼν ὁ νομοθέτης διαρρήδην ἀπέδειξεν, οὓς χρὴ δημηγορεῖν καὶ οὓς οὐ δεῖ λέγειν ἐν τῷ δήμῳ.*

36 (239 M.) Demosth. 19, 251 ss

φέρε δὴ καὶ περὶ τοῦ Σόλωνος ὃν εἶπε λόγον σκέψασθε. ἔφη τὸν Σόλων' ἀνακεῖσθαι τῆς τῶν τότε δημηγορούντων σωφροσύνης παράδειγμα, εἴσω τὴν χεῖρ' ἔχοντ' ἀναβεβλημένον, ἐπιπλήττων τι καὶ λοιδορούμενος τῇ τοῦ Τιμάρχου προπετείᾳ. καίτοι τὸν μὲν ἀνδριάντα τοῦτον οὔπω πεντήκοντ' ἔτη φάσ' ἀνακεῖσθαι Σαλαμίνιοι, ἀπὸ Σόλωνος δ' ὁμοῦ διακόσι' ἐστὶν ἔτη καὶ τετταράκοντ' εἰς τὸν νυνὶ παρόντα χρόνον, ὥσθ' ὁ δημιουργὸς ὁ τοῦτο πλάσας τὸ σχῆμα οὐ μόνον οὐκ αὐτὸς ἦν κατ' ἐκεῖνον, ἀλλ' οὐδ' ὁ πάππος αὐτοῦ. (252) *τοῦτο μὲν τοίνυν εἶπε τοῖς δικασταῖς καὶ ἐμιμήσατο· ὃ δὲ τοῦ σχήματος ἦν τούτου πολλῷ τῇ πόλει λυσιτελέστερον, τὸ τὴν ψυχὴν τὴν Σόλωνος ἰδεῖν καὶ τὴν διάνοιαν, ταύτην οὐκ ἐμιμήσατο, ἀλλὰ πᾶν τοὐναντίον. ἐκεῖνος μέν γ' ἀφεστηκυίας Σαλαμῖνος Ἀθηναίων καὶ θάνατον ζημίαν ψηφισαμένων, ἄν τις εἴπῃ κομίζεσθαι, τὸν ἴδιον κίνδυνον ὑποθεὶς ἐλεγεῖα ποιήσας ᾖδε, καὶ τὴν μὲν χώραν ⟨ἀν⟩έσωσε* (suppl. Herw.) *τῇ πόλει, τὴν δ' ὑπάρχουσαν αἰσχύνην ἀπήλλαξεν·* (253) *οὗτος δ', ἣν βασιλεὺς καὶ πάντες οἱ Ἕλληνες ὑμετέραν ἔγνωσαν, Ἀμφίπολιν, ταύτην ἐξέδωκε καὶ ἀπέδοτο καὶ τῷ ταῦτα γράφοντι συνεῖπε Φιλοκράτει. ἄξιόν γ'* (*οὐ γάρ;*) *ἦν Σόλωνος αὐτῷ μεμνῆσθαι. καὶ οὐ μόνον ἐνταῦθα ταῦτ' ἐποίησεν, ἀλλ' ἐκεῖσ' ἐλθὼν οὐδὲ τοὔνομ' ἐφθέγξατο τῆς χώρας ὑπὲρ ἧς ἐπρέσβευεν.* (254) *… λέγε δή μοι λαβὼν καὶ τὰ τοῦ Σόλωνος ἐλεγεῖα ταυτί, ἵν' ἴδηθ' ὅτι καὶ Σόλων ἐμίσει τοὺς οἵους οὗτος ἀνθρώπους.* (255) *οὐ λέγειν εἴσω τὴν χεῖρ' ἔχοντ', Αἰσχίνη, δεῖ, οὔ, ἀλλὰ πρεσβεύειν εἴσω τὴν χεῖρ' ἔχοντα. σὺ δ' ἐκεῖ προτείνας καὶ ὑποσχὼν καὶ καταισχύνας τούτους ἐνθάδε σεμνολογεῖ, καὶ λογάρια δύστηνα μελετήσας καὶ φωνασκήσας οὐκ οἴει δίκην δώσειν τηλικούτων καὶ τοσούτων ἀδικημάτων, κἂν πιλίδιον λαβὼν περὶ τὴν κεφαλὴν περινοστῇς καὶ ἐμοὶ λοιδορῇ; λέγε σύ·* [fr. 3]. (256) *ἀκούετ', ὦ ἄνδρες Ἀθηναῖοι, περὶ τῶν τοιούτων ἀνθρώπων οἷα Σόλων λέγει, καὶ περὶ τῶν θεῶν,*

οὕς φησι τὴν πόλιν σῴζειν (cf. 3, 3s). *ἐγὼ δ' ἀεὶ μὲν ἀληθῆ τὸν λόγον τοῦτον ἡγοῦμαι καὶ βούλομαι, ὡς ἄρ' οἱ θεοὶ σῴζουσιν ἡμῶν τὴν πόλιν.*

37 (240 M.) Ps.-Demosth. 61, 49

ἐπεὶ σύνοιδά γε πολλοὺς μὲν ἐξ ἀδόξων καὶ ταπεινῶν ἐπιφανεῖς διὰ τῆς πραγματείας ταύτης γεγενημένους, Σόλωνα δὲ καὶ ζῶντα καὶ τελευτήσαντα μεγίστης δόξης ἠξιωμένον· ὃς οὐκ ἀπεληλαμένος τῶν ἄλλων τιμῶν, ἀλλὰ τῆς μὲν ἀνδρείας τὸ πρὸς Μεγαρέας τρόπαιον ὑπόμνημα καταλιπών, τῆς δ' εὐβουλίας τὴν Σαλαμῖνος κομιδήν, τῆς δ' ἄλλης συνέσεως τοὺς νόμους, οἷς ἔτι καὶ νῦν οἱ πλεῖστοι τῶν Ἑλλήνων χρώμενοι διατελοῦσιν, ὅμως τοσούτων αὐτῷ καλῶν ὑπαρχόντων, ἐπ' οὐδενὶ μᾶλλον ἐσπούδασεν ἢ τῶν ἑπτὰ σοφιστῶν ὅπως γένηται, νομίζων τὴν φιλοσοφίαν οὐκ ὄνειδος, ἀλλὰ τιμὴν τοῖς χρωμένοις φέρειν, καλῶς ἐγνωκὼς αὐτὸ τοῦτ' οὐχ ἧττον ἢ καὶ τἄλλ' ἐφ' οἷς διήνεγκεν.

38 (241 M.) Aristot. Ath. Pol. 17, 1s

Πεισίστρατος μὲν οὖν ἐγκατεγήρασε τῇ ἀρχῇ καὶ ἀπέθανε νοσήσας ἐπὶ Φιλόνεω ἄρχοντος, ἀφ' οὗ μὲν κατέστη τὸ πρῶτον τύραννος ἔτη τριάκοντα καὶ τρία βιώσας, ἃ δ' ἐν τῇ ἀρχῇ διέμεινεν ἑνὸς δέοντα εἴκοσι· ἔφευγε γὰρ τὰ λοιπά. διὸ καὶ φανερῶς ληροῦσιν ⟨*οἱ*⟩ (suppl. Kaibel-Wil.) *φάσκοντες ἐρώμενον εἶναι Πεισίστρατον Σόλωνος καὶ στρατηγεῖν ἐν τῷ πρὸς Μεγαρέας πολέμῳ περὶ Σαλαμῖνος· οὐ γὰρ ἐνδέχεται ταῖς ἡλικίαις, ἐάν τις ἀναλογίζηται τὸν ἑκατέρου βίον καὶ ἐφ' οὗ ἀπέθανεν ἄρχοντος.*

39 (254 M.) Stephan. in Aristot. Rhet. 1 p. 1375b30 (Comment. in Aristot. Gr. XXI 296, 22ss Rabe = Anecd. Paris. I 286, 33ss Cramer)

βουλόμενος δεῖξαι Σόλων ὁ Ἀθηναῖος, ὅτι ἄνωθεν ἡ Σαλαμὶς ὑπὸ Ἀθηναίους ἦν, ἔγραψεν εἰς τὴν δίκην καὶ στίχους ἀπὸ τῆς Βοιωτίας Ὁμήρου (*B* 557–558)·

> *'Αἴας δ' ἐκ Σαλαμῖνος ἄγεν δυοκαίδεκα νῆας,*
> *στῆσε δ' ἄγων ἵν' Ἀθηναίων ἵσταντο φάλαγγες.'*

ταῦτα οὕτω παρασημειοῦται καὶ Πλούταρχος ἐν τῷ τοῦ Σόλωνος παραλλήλῳ (27, 2). *καὶ Περίανδρος δὲ ὁ Κορίνθιος, οὗ καὶ αὐτοῦ πολὺν λόγον ποιεῖται οὗτος ὁ Χαιρωνεὺς ἐν τῷ τῶν ἑπτὰ σοφῶν Συμποσίῳ, σοφώτατος ἦν χιλίων ἐλεγείων ποιητὴς Σόλωνι συνακμάσας.* cf. Test. 42 et 43.

40 (242 M.) Cic. De off. 1, 108

callidum Hannibalem ex Poenorum, ex nostris ducibus Q. Maximum accepimus, facile celare, tacere, dissimulare, insidiari, praeripere hostium consilia. in quo genere Graeci Themistoclem et Pheraeum Iasonem ceteris anteponunt, in primisque versutum et callidum factum Solonis, qui, quo et tutior eius vita esset et plus aliquanto rei publicae prodesset, furere se simulavit.

41 Philodem. De mus. 20, 18 (87 Kemke)

οὐ γὰρ αὐτοὺς ἀπεῖρ[γ]ε φόβος παρανο[μί]ας, καθάπερ Σόλωνα περὶ Σαλαμῖνος ὡς μαινομένου [σ]υμ[β]ουλεῦσαί [φ]α[σι] δι' ἐλεγείας.

42 (244 M.) Strab. 9, 1, 10 p. 394

καὶ νῦν μὲν ἔχουσιν Ἀθηναῖοι τὴν νῆσον, τὸ δὲ παλαιὸν πρὸς Μεγαρέας ὑπῆρξεν αὐτοῖς ἔρις περὶ αὐτῆς· καί φασιν οἱ μὲν Πεισίστρατον, οἱ δὲ Σόλωνα παρεγγράψαντα ἐν τῷ νεῶν καταλόγῳ μετὰ τὸ ἔπος τοῦτο (*B* 557)·

'Αἴας δ' ἐκ Σαλαμῖνος ἄγεν δυοκαίδεκα νῆας',

ἑξῆς τοῦτο (*B* 558)·

'στῆσε δ' ἄγων, ἵν' Ἀθηναίων ἵσταντο φάλαγγες',

μάρτυρι χρήσασθαι τῷ ποιητῇ τοῦ τὴν νῆσον ἐξ ἀρχῆς Ἀθηναίων ὑπάρξαι.

43 (245 M.) Plut. Sol. 8–10

ἐπεὶ δὲ μακρόν τινα καὶ δυσχερῆ πόλεμον οἱ ἐν ἄστει περὶ τῆς Σαλαμινίων νήσου Μεγαρεῦσι πολεμοῦντες ἐξέκαμον, καὶ νόμον ἔθεντο μήτε γράψαι τινὰ μήτ' εἰπεῖν αὖθις ὡς χρὴ τὴν πόλιν ἀντιποιεῖσθαι τῆς Σαλαμῖνος, ἢ θανάτῳ ζημιοῦσθαι, βαρέως φέρων τὴν ἀδοξίαν ὁ Σόλων, καὶ τῶν νέων ὁρῶν πολλοὺς δεομένους ἀρχῆς ἐπὶ τὸν πόλεμον, αὐτοὺς δὲ μὴ θαρροῦντας ἄρξασθαι διὰ τὸν νόμον, ἐσκήψατο μὲν ἔκστασιν τῶν λογισμῶν, καὶ λόγος εἰς τὴν πόλιν ἐκ τῆς οἰκίας διεδόθη παρακινητικῶς ἔχειν αὐτόν· ἐλεγεῖα δὲ κρύφα συνθεὶς καὶ μελετήσας ὥστε λέγειν ἀπὸ στόματος, ἐξεπήδησεν εἰς τὴν ἀγορὰν ἄφνω, πιλίδιον περιθέμενος. ὄχλου δὲ πολλοῦ συνδραμόντος, ἀναβὰς ἐπὶ τὸν τοῦ κήρυκος λίθον, ἐν ᾠδῇ διεξῆλθε τὴν ἐλεγείαν ἧς ἐστιν ἀρχή· [fr. 2, 1–2]. *τοῦτο τὸ ποίημα Σαλαμὶς ἐπιγέγραπται καὶ στίχων ἑκατόν ἐστι, χαριέντως πάνυ πεποιημένων. τότε δ' ᾀσθέντος αὐτοῦ, καὶ τῶν φίλων*

τοῦ Σόλωνος ἀρξαμένων ἐπαινεῖν, μάλιστα δὲ τοῦ Πεισιστράτου τοῖς πολίταις ἐγκελευομένου καὶ παρορμῶντος πείθεσθαι τῷ λέγοντι, λύσαντες τὸν νόμον αὖθις ἥπτοντο τοῦ πολέμου, προστησάμενοι τὸν Σόλωνα.

τὰ μὲν οὖν δημώδη τῶν λεγομένων τοιαῦτ' ἐστιν, ὅτι πλεύσας ἐπὶ Κωλιάδα μετὰ τοῦ Πεισιστράτου, καὶ καταλαβὼν αὐτόθι πάσας τὰς γυναῖκας τῇ Δήμητρι τὴν πάτριον θυσίαν ἐπιτελούσας, ἔπεμψεν ἄνδρα πιστὸν εἰς Σαλαμῖνα προσποιούμενον αὐτόμολον εἶναι, κελεύσοντα τοὺς Μεγαρεῖς, εἰ βούλονται τῶν Ἀθηναίων τὰς πρώτας λαβεῖν γυναῖκας, ἐπὶ Κωλιάδα πλεῖν μετ' αὐτοῦ τὴν ταχίστην. ὡς δὲ πεισθέντες οἱ Μεγαρεῖς ἄνδρας ἐξέπεμψαν ἐν {*τῷ*} (del. Ziegler) *πλοίῳ, καὶ κατεῖδεν ὁ Σόλων τὸ πλοῖον ἐλαυνόμενον ἀπὸ τῆς νήσου, τὰς μὲν γυναῖκας ἐκποδὼν ἀπελθεῖν ἐκέλευσε, τῶν δὲ νεωτέρων τοὺς μηδέπω γενειῶντας ἐνδύμασι καὶ μίτραις καὶ ὑποδήμασι τοῖς ἐκείνων σκευασαμένους καὶ λαβόντας ἐγχειρίδια κρυπτὰ παίζειν καὶ χορεύειν προσέταξε πρὸς τῇ θαλάττῃ, μέχρι ἂν ἀποβῶσιν οἱ πολέμιοι καὶ γένηται τὸ πλοῖον ὑποχείριον. οὕτω δὴ τούτων πραττομένων, ὑπαχθέντες οἱ Μεγαρεῖς τῇ ὄψει καὶ προσμείξαντες ἐγγύς, ἐξεπήδων ὡς ἐπὶ γυναῖκας ἁμιλλώμενοι πρὸς ἀλλήλους ..., ὥστε μηδένα διαφυγεῖν, ἀλλὰ πάντας ἀπολέσθαι, καὶ τὴν νῆσον ἐπιπλεύσαντας εὐθὺς ἔχειν τοὺς Ἀθηναίους.*

(9) *ἄλλοι δέ φασιν οὐ τοῦτον τὸν τρόπον γενέσθαι τὴν κατάληψιν, ἀλλὰ πρῶτον μὲν αὐτῷ τὸν ἐν Δελφοῖς θεὸν χρῆσαι* (Parke-Wormell II 130)·

> *ἀρχηγοὺς χώρας θυσίαις ἥρωας ἐνοίκους*
> *ἵλασο, τοὺς κόλποις Ἀσωπιὰς ἀμφικαλύπτει,*
> *οἳ φθίμενοι δέρκονται ἐς ἠέλιον δύνοντα·*

τὸν δὲ Σόλωνα διαπλεύσαντα νυκτὸς εἰς τὴν νῆσον ἐντεμεῖν σφάγια Περιφήμῳ καὶ Κυχρεῖ τοῖς ἥρωσιν. εἶτα παρὰ τῶν Ἀθηναίων ἐθελοντὰς λαβεῖν πεντακοσίους, δόγματος γενομένου τούτους, ἂν κατασχῶσι τὴν νῆσον, κυρίους εἶναι τοῦ πολιτεύματος. ἀναχθέντα δὲ συχναῖς ἁλιάσιν, ἅμα τριακοντόρου συμπλεούσης, ὑφορμίσασθαι τῇ Σαλαμῖνι κατὰ χηλήν τινα πρὸς τὴν †Εὔβοιαν (*Νίσαιαν* Sintenis, *Θυμαιτίδα* Wil.) *ἀποβλέπουσαν. πυθομένους δὲ τοὺς ἐν Σαλαμῖνι Μεγαρεῖς ἔκ τινος φήμης οὐδὲν βέβαιον* ⟨*ἐχούσης*⟩ (add. Koraës), *αὐτοὺς μὲν εἰς τὰ ὅπλα θορυβουμένους βαδίζειν, ναῦν δ' ἀποστεῖλαι κατασκεψομένην τὰ τῶν πολεμίων· ἧς ἐγγὺς ἐλθούσης κρατῆσαι τὸν Σόλωνα καὶ καθεῖρξαι τοὺς Μεγαρεῖς, ἐμβιβάσαι δὲ τῶν Ἀθηναίων τοὺς κρατίστους, κελεύσαντα πλεῖν ἐπὶ τὴν πόλιν, ὡς ἂν ἐνδέχηται μάλιστα κρύπτοντας*

ἑαυτούς· ἅμα δὲ τοὺς ἄλλους Ἀθηναίους ἀναλαβόντα πεζῇ συμφέρεσθαι τοῖς Μεγαρεῦσι, καὶ τῆς μάχης ἔτι συνεστώσης, φθάσαι τοὺς ἀπὸ τῆς νεὼς καταλαβόντας τὴν πόλιν. ἔοικε δὲ τῷ λόγῳ τούτῳ καὶ τὰ δρώμενα μαρτυρεῖν. ναῦς γάρ τις Ἀττικὴ προσέπλει σιωπῇ τὸ πρῶτον, εἶτα κραυγῇ καὶ ἀλαλαγμῷ προσφερομένων, εἷς ἀνὴρ ἔνοπλος ἐξαλλόμενος μετὰ βοῆς ἔθει πρὸς ἄκρον τὸ Σκιράδιον … ἐκ γῆς προσαγόμενος. πλησίον δὲ τοῦ Ἐνυαλίου τὸ ἱερόν ἐστιν ἱδρυσαμένου Σόλωνος. *ἐνίκησε γὰρ τοὺς Μεγαρέας, καὶ ὅσοι μὴ διεφθάρησαν ἐν τῇ μάχῃ, πάντας ὑποσπόνδους ἀφῆκεν.*

(10) *οὐ μὴν ἀλλὰ τῶν Μεγαρέων ἐπιμενόντων, πολλὰ κακὰ καὶ δρῶντες ἐν τῷ πολέμῳ καὶ πάσχοντες, ἐποιήσαντο Λακεδαιμονίους διαλλακτὰς καὶ δικαστάς. οἱ μὲν οὖν πολλοὶ τῷ* Σόλωνι *συναγωνίσασθαι λέγουσι τὴν Ὁμήρου δόξαν· ἐμβαλόντα γὰρ αὐτὸν ἔπος εἰς νεῶν κατάλογον ἐπὶ τῆς δίκης ἀναγνῶναι* (*B* 557 – 558)·

Αἴας δ' ἐκ Σαλαμῖνος ἄγεν δυοκαίδεκα νῆας,
στῆσε δ' ἄγων ἵν' Ἀθηναίων ἵσταντο φάλαγγες.'

αὐτοὶ δ' Ἀθηναῖοι ταῦτα μὲν οἴονται φλυαρίαν εἶναι, τὸν δὲ Σόλωνά *φασιν ἀποδεῖξαι τοῖς δικασταῖς, ὅτι Φιλαῖος καὶ Εὐρυσάκης οἱ Αἴαντος υἱοί,* ⟨*τῆς*⟩ (suppl. Reiske) *Ἀθήνησι πολιτείας μεταλαβόντες, παρέδοσαν τὴν νῆσον αὐτοῖς καὶ κατῴκησαν ὁ μὲν ἐν Βραυρῶνι τῆς Ἀττικῆς, ὁ δ' ἐν Μελίτῃ, καὶ δῆμον ἐπώνυμον Φιλαίου τὸν Φιλαϊδῶν ἔχουσιν, ὅθεν ἦν Πεισίστρατος. ἔτι δὲ μᾶλλον ἐξελέγξαι τοὺς Μεγαρέας βουλόμενον, ἰσχυρίσασθαι περὶ τῶν νεκρῶν ὡς οὐχ ὃν τρόπον ἐκεῖνοι θάπτουσι κεκηδευμένων, ἀλλ' ὃν αὐτοί· θάπτουσι δὲ Μεγαρεῖς πρὸς ἕω τοὺς νεκροὺς βλέποντας, Ἀθηναῖοι δὲ πρὸς ἑσπέραν. Ἡρέας δ' ὁ Μεγαρεὺς* (FGrHist 486 F 4) *ἐνιστάμενος λέγει καὶ Μεγαρεῖς πρὸς ἑσπέραν τετραμμένα τὰ σώματα τῶν νεκρῶν τιθέναι, καὶ μεῖζον ἔτι τούτων, μίαν ἕκαστον Ἀθηναίων ἔχειν θήκην, Μεγαρέων δὲ καὶ τρεῖς καὶ τέτταρας ἐν μιᾷ κεῖσθαι. τῷ μέντοι* Σόλωνι *καὶ Πυθικούς τινας βοηθῆσαι λέγουσιν χρησμούς, ἐν οἷς ὁ θεὸς Ἰαονίαν τὴν Σαλαμῖνα προσηγόρευσε. ταύτην τὴν δίκην ἐδίκασαν Σπαρτιατῶν πέντε ἄνδρες Κριτολαΐδας, Ἀμομφάρετος, Ὑψιχίδας, Ἀναξίλας, Κλεομένης.*

44 (246 M.) Plut. Sol. 12, 5ss

ταύταις δὲ ταῖς ταραχαῖς καὶ Μεγαρέων συνεπιθεμένων, ἀπέβαλόν τε Νίσαιαν οἱ Ἀθηναῖοι, καὶ Σαλαμῖνος ἐξέπεσον αὖθις, καὶ φόβοι τινὲς ἐκ δεισιδαιμονίας ἅμα καὶ φάσματα κατεῖχε τὴν πόλιν, οἵ τε μάντεις ἄγη καὶ μιασμοὺς δεομένους καθαρμῶν προφαίνεσθαι διὰ τῶν ἱερῶν

ἠγόρευον. οὕτω δὴ μετάπεμπτος αὐτοῖς ἧκεν ἐκ Κρήτης Ἐπιμενίδης ὁ Φαίστιος, ὃν ἕβδομον ἐν τοῖς σοφοῖς καταριθμοῦσιν ἔνιοι τῶν οὐ προσιεμένων τὸν Περίανδρον. ἐδόκει δέ τις εἶναι θεοφιλὴς καὶ σοφὸς περὶ τὰ θεῖα τὴν ἐνθουσιαστικὴν καὶ τελεστικὴν σοφίαν· διὸ καὶ παῖδα νύμφης ὄνομα Βλάστης καὶ Κούρητα νέον αὐτὸν οἱ τότ' ἄνθρωποι προσηγόρευον. ἐλθὼν δὲ καὶ τῷ Σόλωνι χρησάμενος φίλῳ, πολλὰ προϋπειργάσατο καὶ προωδοποίησεν αὐτῷ τῆς νομοθεσίας. καὶ γὰρ εὐσταλεῖς ἐποίησε ταῖς ἱερουργίαις καὶ περὶ τὰ πένθη πραοτέρους, θυσίας τινὰς εὐθὺς ἀναμείξας πρὸς τὰ κήδη, καὶ τὸ σκληρὸν ἀφελὼν καὶ τὸ βαρβαρικόν, ᾧ συνείχοντο πρότερον αἱ πλεῖσται γυναῖκες. τὸ δὲ μέγιστον· ἱλασμοῖς τισι καὶ καθαρμοῖς καὶ ἱδρύσεσι κατοργιάσας καὶ καθοσιώσας τὴν πόλιν, ὑπήκοον τοῦ δικαίου καὶ μᾶλλον εὐπειθῆ πρὸς ὁμόνοιαν κατέστησε. λέγεται δὲ τὴν Μουνυχίαν ἰδὼν καὶ καταμαθὼν πολὺν χρόνον, εἰπεῖν πρὸς τοὺς παρόντας ὡς τυφλόν ἐστι τοῦ μέλλοντος ἄνθρωπος· ἐκφαγεῖν γὰρ ἂν Ἀθηναίους τοῖς αὑτῶν ὀδοῦσιν, εἰ προῄδεσαν ὅσα τὴν πόλιν ἀνιάσει τὸ χωρίον. ὅμοιον δέ τι καὶ Θαλῆν εἰκάσαι λέγουσι· κελεῦσαι γὰρ αὐτὸν ἔν τινι τόπῳ τῆς Μιλησίας φαύλῳ καὶ παρορωμένῳ τελευτήσαντα θεῖναι, προειπὼν ὡς ἀγορά ποτε τοῦτο Μιλησίων ἔσται τὸ χωρίον. Ἐπιμενίδης μὲν οὖν μάλιστα θαυμασθείς, καὶ χρήματα διδόντων πολλὰ καὶ τιμὰς μεγάλας τῶν Ἀθηναίων, οὐδὲν ἢ θαλλὸν ἀπὸ τῆς ἱερᾶς ἐλαίας αἰτησάμενος καὶ λαβών, ἀπῆλθεν.

45 (247 M.) Plut. Publ. 27, 2ss (comp. Sol. et Publ. 4, 2ss)

καὶ μὴν ἔτι πρὸς τὰς πολιτικὰς πράξεις ὁ μὲν ἐν παιδιᾶς τινι τρόπῳ καὶ προσποίημα μανίας ἀναλαβὼν ὑπὲρ Σαλαμῖνος ἐρῶν προῆλθεν· ὁ δ' αὐτόθεν ἀναρρίψας τὸν περὶ τῶν μεγίστων κίνδυνον, ἐπανέστη τε Ταρκυνίοις καὶ τὴν προδοσίαν ἐφώρασε, καὶ τοῦ κολασθῆναι καὶ μὴ διαφυγεῖν τοὺς πονηροὺς αἰτιώτατος γενόμενος, οὐ τὰ σώματα μόνον τῶν τυράννων ἐξέβαλε τῆς πόλεως, ἀλλὰ καὶ τὰς ἐλπίδας ἐξέκοψεν. οὕτω δὲ τοῖς δεχομένοις πράγμασιν ἀγῶνα καὶ θυμὸν καὶ ἀντίταξιν ἐρρωμένως καὶ ἀτενῶς ἀπαντήσας, ἔτι βέλτιον ἐχρήσατο τοῖς ὁμιλίας ἀπολέμου καὶ πειθοῦς ὑπεικούσης δεομένοις, ἄνδρα Πορσίνναν ἄμαχον ὄντα καὶ φοβερὸν ἐμμελῶς προσαγαγόμενος καὶ μεταστήσας εἰς φιλίαν. καίτοι φήσει τις ἐνταῦθα τὸν μὲν Σόλωνα προεμένοις ἀναλαβεῖν Ἀθηναίοις Σαλαμῖνα, τὸν δὲ Ποπλικόλαν ἧς ἐκέκτηντο Ῥωμαῖοι χώρας ἀποστῆναι. δεῖ δὲ πρὸς τοὺς ὑποκειμένους καιροὺς τὰς πράξεις θεωρεῖν. ποικίλος γὰρ ὢν ὁ πολιτικὸς ᾧ τρόπῳ τῶν ὄντων ἕκαστον εὔληπτόν ἐστι μεταχειρίσασθαι, καὶ μέρους ἀφέσει πολλάκις ἔσωσε τὸ

πᾶν, καὶ μικρῶν ἀποστὰς μειζόνων ἔτυχεν, ὥσπερ ἐκεῖνος ὁ ἀνὴρ τότε τῆς μὲν ἀλλοτρίας χώρας ἀποστὰς ἔσωσε τὴν ἑαυτοῦ βεβαίως ἅπασαν, οἷς δ' ἦν μέγα τὴν πόλιν διαφυλάξαι προσεκτήσατο τὸ τῶν πολιορκούντων στρατόπεδον, ἐπιτρέψας δὲ τῷ πολεμίῳ δικαστῇ γενέσθαι καὶ περιγενόμενος τῇ δίκῃ, προσέλαβεν ὅσα δόντας ἀγαπητὸν ἦν νικῆσαι· καὶ γὰρ τὸν πόλεμον ἔλυσε, καὶ τὴν παρασκευὴν τοῦ πολέμου κατέλιπεν αὐτοῖς διὰ πίστιν ἀρετῆς καὶ καλοκαγαθίας, ἣν ὁ ἄρχων ὑπὲρ ἁπάντων ἐνεποίησεν αὐτῷ.

46 (248 M.) Polyaen. 1, 20, 1s

Ἀθηναῖοι καὶ Μεγαρεῖς ἐπολέμουν χρόνῳ μακρῷ Σαλαμῖνος πέρι. ἡσσώμενοι Ἀθηναῖοι νόμον ἐκύρωσαν· 'τῷ ἀγορεύσαντι πλεῖν ἐπὶ Σαλαμῖνος μάχῃ θάνατος ἔστω.' Σόλων τὸν θάνατον οὐ φοβηθεὶς λύει τὸν νόμον· λύει δὲ ὧδε. μανίαν ὑποκρίνεται καὶ προελθὼν εἰς ἀγορὰν ἐλεγεῖα ᾖδε· τὰ δὲ ἐλεγεῖα ἦν Ἀρήια ᾄσματα. τούτοις ἤγειρεν Ἀθηναίους ἐπὶ τὴν μάχην. οἱ δὲ κάτοχοι ἐκ Μουσῶν καὶ Ἄρεως αὐτίκα τε ἀνήγοντο ᾄδοντες ὁμοῦ καὶ ἀλαλάζοντες καὶ Μεγαρεῖς κατὰ κράτος ἐνίκων· καὶ πάλιν ἡ Σαλαμὶς Ἀθηναίων κτῆμα ἦν. Σόλων δὲ μάλα ἐθαυμάζετο καὶ τὸν νόμον λύσας τῇ μανίᾳ καὶ τὸν πόλεμον νικήσας τῇ μουσικῇ. (2) *ἦν πόλεμος Ἀθηναίοις καὶ Μεγαρεῦσι Σαλαμῖνος πέρι· Σόλων ἔπλευσεν ἐπὶ Κωλιάδος, ἔνθα αἱ γυναῖκες Δήμητρι ἑορτὴν ἐτέλουν ἐπ' αὐτῇ τῇ θαλάσσῃ. αὐτόμολον ἐκπέμπει Σόλων ἀγγελοῦντα Μεγαρεῦσιν· 'ἢν ἐπὶ Κωλιάδος πλεύσητε τὰς Ἀθηναίων γυναῖκας αἱρήσετε χορευούσας· ἀλλὰ μὴ μέλλετε.' Μεγαρεῖς τῇ ἀπάτῃ πείθονται. οἱ μὲν δὴ ἐπέπλεον· Σόλων δὲ τὰς μὲν γυναῖκας ἀναχωρῆσαι κελεύει, μειράκια δὲ ἀγένεια ταῖς τῶν γυναικῶν ἐσθῆσι κεκοσμημένα, στεφάνους περικείμενα, κρυπτοῖς ἐγχειριδίοις ὡπλισμένα παρὰ τὴν ἠιόνα παίζειν καὶ χορεύειν ἔταξεν. οἱ δὲ Μεγαρεῖς τῇ ὄψει τῶν ἀγενείων καὶ τῇ ἐσθῆτι τῶν γυναικῶν ἐξαπατώμενοι τῶν νεῶν ἀποβάντες ἐπειρῶντο συλλαμβάνειν οἷα δὴ γυναῖκας· οἱ δὲ σπασάμενοι τὰ ἐγχειρίδια μάλα δὴ ἀντὶ γυναικῶν ἄνδρες ἐφάνησαν, τοὺς πολεμίους ἔκτειναν, τῶν νεῶν ἐπέβησαν, τῆς Σαλαμῖνος ἐκράτησαν.*

47 (250 M.) Diog. Laert. 1, 46

τὸ δὲ μέγιστον, τῆς πατρίδος αὐτοῦ {Σαλαμῖνος} (secl. Cob.) *ἀμφισβητουμένης ὑπό τε Ἀθηναίων καὶ Μεγαρέων καὶ πολλάκις τῶν Ἀθηναίων ἐπταικότων ἐν τοῖς πολέμοις καὶ ψηφισαμένων εἴ τις ἔτι συμβουλεύσοι περὶ Σαλαμῖνος μάχεσθαι, θανάτῳ ζημιοῦσθαι, οὗτος μαί-*

νεσθαι προσποιησάμενος καὶ στεφανωσάμενος εἰσέπαισεν εἰς τὴν ἀγοράν· ἔνθα τοῖς Ἀθηναίοις ἀνέγνω διὰ τοῦ κήρυκος τὰ συντείνοντα περὶ Σαλαμῖνος ἐλεγεῖα καὶ παρώρμησεν αὐτούς. καὶ αὖθις πρὸς τοὺς Μεγαρέας ἐπολέμησαν καὶ ἐνίκων διὰ Σόλωνα. ἦν δὲ τὰ ἐλεγεῖα τὰ μάλιστα καταψάμενα τῶν Ἀθηναίων τάδε· [fr. 2, 3 – 6], *εἶτα* [fr. 2, 7 – 8]. *ἔπεισε δὲ αὐτοὺς καὶ τὴν ἐν Θρᾴκῃ χερρόνησον προσκτήσασθαι. ἵνα δὲ μὴ δοκοίη βίᾳ μόνον, ἀλλὰ καὶ δίκῃ τὴν Σαλαμῖνα κεκτῆσθαι, ἀνασκάψας τινὰς τάφους ἔδειξε τοὺς νεκροὺς πρὸς ἀνατολὰς ἐστραμμένους, ὡς ἦν ἔθος θάπτειν Ἀθηναίοις, ἀλλὰ καὶ αὐτοὺς τοὺς τάφους πρὸς ἕω βλέποντας καὶ ἀπὸ τῶν δήμων τοὺς χρηματισμοὺς ἐγκεχαραγμένους, ὅπερ ἦν ἴδιον Ἀθηναίων. ἔνιοι δέ φασι καὶ ἐγγράψαι αὐτὸν εἰς τὸν κατάλογον τοῦ Ὁμήρου μετὰ τὸν* (*B* 557 – 558)·

'Αἴας δ' ἐκ Σαλαμῖνος ἄγεν δυοκαίδεκα νῆας·
στῆσε δ' ἄγων ἵν' Ἀθηναίων ἵσταντο φάλαγγες.'

48 (251 M.) Paus. 1, 40, 5

ἐν δὲ αὐτῷ τῷ ναῷ (i. e. *ἐν τῷ Ὀλυμπιείῳ*) *τριήρους ἀνάκειται χαλκοῦν ἔμβολον· ταύτην τὴν ναῦν λαβεῖν φασι περὶ Σαλαμῖνα ναυμαχήσαντες πρὸς Ἀθηναίους· ὁμολογοῦσι δὲ καὶ Ἀθηναῖοι χρόνον τινὰ Μεγαρεῦσιν ἀποστῆναι τῆς νήσου, Σόλωνα δὲ ὕστερόν φασιν ἐλεγεῖα ποιήσαντα προτρέψαι σφᾶς, καταστῆναι δὲ ἐπὶ τούτοις* ⟨*ἐς*⟩ (suppl. Facius) *ἀμφισβήτησιν Ἀθηναῖοι, κρατήσαντες δὲ πολέμῳ Σαλαμῖνα αὖθις ἔχειν. Μεγαρεῖς δὲ παρὰ σφῶν λέγουσιν ἄνδρας φυγάδας, οὓς Δορυκλείους ὀνομάζουσιν, ἀφικομένους παρὰ τοὺς ἐν Σαλαμῖνι κληρούχους προδοῦναι Σαλαμῖνα Ἀθηναίοις.*

49 (252 M.) Aelian. V. H. 7, 19

Σόλων ἐς τὴν ὑπὲρ Σαλαμῖνος μάχην ἐστρατήγησε, καὶ δύο νεῶν Μεγαρίδων κρατήσας μετεβίβασε στρατηγοὺς Ἀττικοὺς ἐς αὐτάς, καὶ τὰ τῶν πολεμίων ὅπλα τοῖς οἰκείοις περιθεὶς καὶ μεθορμισθεὶς δι' ἀπάτης πολλοὺς τῶν Μεγαρέων κατέκοψεν ἀνόπλους. ἐκράτησε δὲ καὶ τοῖς λόγοις αὐτῶν, οὐ λόγων δεινότητι ἀλλὰ δι' αὐτῶν τῶν ἐλέγχων τὸ πλέον ἐνεγκάμενος. ἀρχαίας γὰρ θήκας ἀνοίξας ἀπέδειξε πάντας Ἀθηναίους πρὸς δύσιν κειμένους κατὰ τὸ πάτριον αὐτοῖς ἔθος, τοὺς δὲ Μεγαρεῖς εἰκῇ καὶ ὡς ἔτυχε τεθαμμένους. ἔκριναν δὲ τὴν δίκην Λακεδαιμόνιοι.

50 (243 M.) Iustin. 2, 7 s

post Codrum nemo Athenis regnavit, quod memoriae nominis eius tributum est. administratio rei publicae annuis magistrati-

bus permissa. sed civitati nullae tunc leges erant, quia libido regum pro legibus habebatur. legitur itaque Solon, vir iustitiae insignis, qui velut novam civitatem legibus conderet: qui tanto temperamento inter plebem senatumque egit (cum, si quid pro altero ordine tulisset, alteri displiciturum videretur), ut ab utrisque parem gratiam traheret. huius viri inter multa egregia illud memorabile fuit. inter Athenienses et Megarenses de proprietate Salaminae insulae prope usque interitum armis dimicatum fuerat. post multas clades capital esse apud Athenienses coepit, si quis legem de vindicanda insula tulisset. sollicitus igitur Solon, ne aut tacendo parum rei publicae consuleret aut censendo sibi, subitam dementiam simulat, cuius venia non dicturus modo prohibita, sed et facturus erat. deformis habitu more vaecordium in publicum evolat factoque concursu hominum, quo magis consilium dissimulet, insolitis sibi versibus suadere populo coepit, quod vetabatur, omniumque animos ita cepit, ut extemplo bellum adversus Megarenses decerneretur insulaque devictis hostibus Atheniensium fieret. interea Megarenses memores inlati Atheniensibus belli et deserti, ne frustra arma movisse viderentur, matronas Atheniensium in Eleusiniis sacris noctu oppressuri naves conscendunt. qua re cognita dux Atheniensium Pisistratus iuventutem in insidiis locat, iussis matronis solito clamore ac strepitu etiam in accessu hostium, ne intellectos se sentiant, sacra celebrare: egressosque navibus Megarenses inopinantes adgressus delevit ac protinus classe captiva intermixtis ⟨inter milites⟩ (*suppl. Klotz*) mulieribus, ut speciem captarum matronarum praeberent, Megara contendit. illi cum et navium formam et petitam praedam cognoscerent, obvii ad portum procedunt, quibus caesis Pisistratus paulum a capienda urbe afuit. ita Dorienses suis dolis hosti victoriam dedere. sed Pisistratus, quasi sibi, non patriae vicisset, tyrannidem per dolum occupat. quippe voluntariis verberibus domi adfectus laceratoque corpore in publicum degreditur, advocata contione vulnera populo ostendit, de crudelitate principum, e quibus haec se passum simulabat, queritur; adduntur vocibus lacrimae et invidiosa oratione multitudo credula accenditur; amore plebis invisum se senatui simulat. obtinet ad custodiam corporis sui satellitum auxilium, per quos occupata tyrannide per annos XXXIII regnavit.

51 (253 M.) Liban. Decl. 1, 152 (V 101, 17ss Foerster)

Σόλων δὲ Σαλαμῖνά τε προσηγάγετο καὶ χρεῶν ἀποκοπὰς εἰσηγάγετο καὶ ταῦτα πέντε ταλάντων ὀφειλομένων αὐτῷ. ταυτὶ γάρ, ὦ Ἀθηναῖοι, τοῖς μὲν πεποιηκόσι δόξαν ἂν εἰκότως φέροι, τοὺς δὲ ἄλλους οὐκ ἂν δικαίως ἀποκτεῖναι. εἰ γὰρ τοὺς ⟨*ἢ*⟩ (suppl. Foerster) *μὴ συνοικίζοντας τὴν πόλιν τήν γε συνῳκισμένην ἢ μὴ Σαλαμῖνα κτωμένους τήν γε ἡμετέραν οὖσαν ἀποθνήσκειν δέοι καὶ ὅλως τοὺς ἢ μὴ γράφοντας νόμους ἢ μὴ στρατηγοῦντας, ἐπιλείψει τὸ κώνειον ὑμᾶς. ἔχει Θησεὺς τὰς προσηκούσας τιμάς, ὡς δηλοῖ τὸ Θησεῖον, ἕστηκεν ἐν ἀγορᾷ χαλκοῦς ὁ Σόλων, τὸ δ' ἀποθνήσκειν τινὰς Ἀθηναίων διὰ τὰς ἐκείνων εὐεργεσίας οὐκ οἶδ' ἥντινα ἂν ἔχοι τοῖς ἀνδράσιν ἐκείνοις τιμήν.*

52 Eust. in Il. p. 263, 23

καὶ Σόλων δὲ τὴν Σαλαμῖνα, φασίν, Ἀθηναίοις ἀπένειμε, προσθεὶς ἔπος, ὅπερ ἐν τοῖς ἑξῆς δηλωθήσεται, ὅπου μνήμη τοῦ μεγάλου Αἴαντος γένηται.

53 Anecd. Gr. II 727, 27 Bekker

τοῦτο δὲ καὶ Σόλων εἰδώς, ὡς ἐμψυχότεραί εἰσι μᾶλλον αἱ τῶν παραινέσεων ἔμμετροι, καὶ τῇ χάριτι τοῦ ῥυθμοῦ ψυχαγωγοῦσι τὸν ἀκροατήν, ἐμμέτρως παρῄνεσεν.

De Solone rei publicae moderatore

54 (* 33 M.) Aristot. Ath. Pol. 11, 1s

διατάξας δὲ τὴν πολιτείαν ὅνπερ εἴρηται τρόπον, ἐπειδὴ προσιόντες αὐτῷ περὶ τῶν νόμων ἐνώχλουν, τὰ μὲν ἐπιτιμῶντες τὰ δὲ ἀνακρίνοντες, βουλόμενος μήτε ταῦτα κινεῖν μήτ' ἀπεχθάνεσθαι παρών, ἀποδημίαν ἐποιήσατο κατ' ἐμπορίαν ἅμα καὶ θεωρίαν εἰς Αἴγυπτον, εἰπὼν ὡς οὐχ ἥξει δέκα ἐτῶν· οὐ γὰρ οἴεσθαι δίκαιον εἶναι τοὺς νόμους ἐξηγεῖσθαι παρών, ἀλλ' ἕκαστον τὰ γεγραμμένα ποιεῖν. ἅμα δὲ καὶ συνέβαινεν αὐτῷ τῶν τε γνωρίμων διαφόρους γεγενῆσθαι πολλοὺς διὰ τὰς τῶν χρεῶν ἀποκοπάς, καὶ τὰς στάσεις ἀμφοτέρας μεταθέσθαι διὰ τὸ παράδοξον αὐτοῖς γενέσθαι τὴν κατάστασιν. ὁ μὲν γὰρ δῆμος ᾤετο πάντ' ἀνάδαστα ποιήσειν αὐτόν, οἱ δὲ γνώριμοι πάλιν εἰς τὴν αὐτὴν τάξιν ἀποδώσειν ἢ μικρὸν παραλλάξειν. ⟨*ὁ δὲ*⟩ (suppl. Wilcken) *Σόλων ἀμφοτέροις ἠναντιώθη κτλ.* quae sequuntur vid. ad Test. (I) fr. 7.

55 (132 M.) Aristot. Ath. Pol. 14, 2ss

λέγεται δὲ Σόλωνα, Πεισιστράτου τὴν φυλακὴν αἰτοῦντος, ἀντιλέξαι (cf. fr. 15) *καὶ εἰπεῖν ὅτι τῶν μὲν εἴη σοφώτερος, τῶν δ' ἀνδρειότερος· ὅσοι μὲν γὰρ ἀγνοοῦσι Πεισίστρατον ἐπιτιθέμενον τυραννίδι, σοφώτερος εἶναι τούτων, ὅσοι δ' εἰδότες κατασιωπῶσιν, ἀνδρειότερος. ἐπεὶ δὲ λέγων [οὐκ ἔ]πειθεν* (suppl. Hicks), *ἐξαράμενος τὰ ὅπλα πρὸ τῶν θυρῶν αὐτὸς μὲν ἔφη βεβοηθηκέναι τῇ πατρίδι καθ' ὅσον ἦν δυνατός — ἤδη γὰρ σφόδρα πρεσβύτης ἦν —, ἀξιοῦν δὲ καὶ τοὺς ἄλλους ταὐτὸ τοῦτο ποιεῖν. Σόλων μὲν οὖν οὐδὲν ἤνυσεν τότε παρακαλῶν· Πεισίστρατος δὲ λαβὼν τὴν ἀρχὴν διῴκει τὰ κοινὰ πολιτικῶς μᾶλλον ἢ τυραννικῶς. οὔπω δὲ τῆς ἀρχῆς ἐρριζωμένης ὁμοφρονήσαντες οἱ περὶ τὸν Μεγακλέα καὶ τὸν Λυκοῦργον ἐξέβαλον αὐτὸν ἕκτῳ ἔτει μετὰ τὴν πρώτην κατάστασιν ἐφ' Ἡγησίου ἄρχοντος.*

56 (300 M.) Aristot. Pol. 2 p. 1273b 32ss

καὶ τούτων (scil. *νομοθετῶν*) *οἱ μὲν νόμων ἐγένοντο δημιουργοὶ μόνον, οἱ δὲ καὶ πολιτείας, οἷον καὶ Λυκοῦργος καὶ Σόλων· οὗτοι γὰρ καὶ νόμους καὶ πολιτείας κατέστησαν. περὶ μὲν οὖν τῆς Λακεδαιμονίων εἴρηται, Σόλωνα δ' ἔνιοι μὲν οἴονται νομοθέτην γενέσθαι σπουδαῖον· ὀλιγαρχίαν τε γὰρ καταλῦσαι λίαν ἄκρατον οὖσαν, καὶ δουλεύοντα τὸν δῆμον παῦσαι, καὶ δημοκρατίαν καταστῆσαι τὴν πάτριον, μείξαντα καλῶς τὴν πολιτείαν· εἶναι γὰρ τὴν μὲν ἐν Ἀρείῳ πάγῳ βουλὴν ὀλιγαρχικόν, τὸ δὲ τὰς ἀρχὰς αἱρετὰς ἀριστοκρατικόν, τὰ δὲ δικαστήρια δημοτικόν.* (1274a) *ἔοικε δὲ Σόλων ἐκεῖνα μὲν ὑπάρχοντα πρότερον οὐ καταλῦσαι, τήν τε βουλὴν καὶ τὴν τῶν ἀρχῶν αἵρεσιν, τὸν δὲ δῆμον καταστῆσαι, τὰ δικαστήρια ποιήσας ἐκ πάντων. διὸ καὶ μέμφονταί τινες αὐτῷ· λῦσαι γὰρ θάτερα, κύριον ποιήσαντα τὸ δικαστήριον πάντων, κληρωτὸν ὄν. ἐπεὶ γὰρ τοῦτ' ἴσχυσεν, ὥσπερ τυράννῳ τῷ δήμῳ χαριζόμενοι τὴν πολιτείαν εἰς τὴν νῦν δημοκρατίαν μετέστησαν· καὶ τὴν μὲν ἐν Ἀρείῳ πάγῳ βουλὴν Ἐφιάλτης ἐκόλουσε καὶ Περικλῆς, τὰ δὲ δικαστήρια μισθοφόρα κατέστησε Περικλῆς, καὶ τοῦτον δὴ τὸν τρόπον ἕκαστος τῶν δημαγωγῶν προήγαγεν αὔξων εἰς τὴν νῦν δημοκρατίαν. φαίνεται δ' οὐ κατὰ τὴν Σόλωνος γενέσθαι τοῦτο προαίρεσιν, ἀλλὰ μᾶλλον ἀπὸ συμπτώματος (τῆς ναυαρχίας γὰρ ἐν τοῖς Μηδικοῖς ὁ δῆμος αἴτιος γενόμενος ἐφρονηματίσθη καὶ δημαγωγοὺς ἔλαβε φαύλους ἀντιπολιτευομένων τῶν ἐπιεικῶν), ἐπεὶ Σόλων γε ἔοικε τὴν ἀναγκαιοτάτην ἀποδιδόναι τῷ δήμῳ δύναμιν* (cf. fr. 7), *τὸ τὰς ἀρχὰς αἱρεῖσθαι καὶ εὐθύνειν (μηδὲ γὰρ τούτου κύριος ὢν ὁ δῆμος δοῦλος ἂν εἴη καὶ*

πολέμιος), τὰς δ' ἀρχὰς ἐκ τῶν γνωρίμων καὶ τῶν εὐπόρων κατέστησε πάσας, ἐκ τῶν πεντακοσιομεδίμνων καὶ ζευγιτῶν καὶ τρίτου τέλους τῆς καλουμένης ἱππάδος· τὸ δὲ τέταρτον τὸ θητικόν, οἷς οὐδεμιᾶς ἀρχῆς μετῆν.

57 (320 M.) Aristot. Pol. 4 p. 1296a 18ss

σημεῖον δὲ δεῖ νομίζειν καὶ τὸ τοὺς βελτίστους νομοθέτας εἶναι τῶν μέσων πολιτῶν· Σόλων τε γὰρ ἦν τούτων (δηλοῖ δ' ἐκ τῆς ποιήσεως) καὶ Λυκοῦργος ... καὶ σχεδὸν οἱ πλεῖστοι τῶν ἄλλων.

58 (334 M.) Aristid. Or. 24, 14 (II 59, 8ss Keil)

καὶ μὴν οὐδὲ Σόλωνος ἔξω τοῦ καιροῦ ποιεῖν ἄν μοι δοκῶ μνησθείς, ἄλλως τε καὶ οὗ νόμων καὶ πολιτείας ἐξετασμός. ἐκεῖνος τοίνυν ἐν τοῖς ἐλεγείοις διεξιὼν περὶ τῶν αὐτῷ πεπολιτευμένων ἐπὶ τούτῳ μάλιστα πάντων σεμνύνεται, τῷ καταμῖξαι τὸν δῆμον πρὸς τοὺς δυνατούς, ὅπως ἂν μιᾷ γνώμῃ τὴν πόλιν οἰκῶσιν, μηδέτεροι πλεῖον ἰσχύοντες ἢ κοινῇ συμφέρει. cf. fr. 7.

59 (271 M.) Plut. Sol. 14, 1 – 15, 1

ἐνταῦθα δὴ τῶν Ἀθηναίων οἱ φρονιμώτατοι συνορῶντες τὸν Σόλωνα μόνον ⟨ἢ⟩ (suppl. Rich.) *μάλιστα τῶν ἁμαρτημάτων ἐκτὸς ὄντα, καὶ μήτε τοῖς πλουσίοις κοινωνοῦντα τῆς ἀδικίας, μήτε ταῖς τῶν πενήτων ἀνάγκαις ἐνεχόμενον, ἐδέοντο τοῖς κοινοῖς προσελθεῖν καὶ καταπαῦσαι τὰς διαφοράς. καίτοι Φανίας ὁ Λέσβιος* (fr. 20 Wehrli) *αὐτὸν ἱστορεῖ τὸν Σόλωνα, χρησάμενον ἀπάτῃ πρὸς ἀμφοτέρους ἐπὶ σωτηρίᾳ τῆς πόλεως, ὑποσχέσθαι κρύφα τοῖς μὲν ἀπόροις γῆς νέμησιν, τοῖς δὲ χρηματικοῖς βεβαίωσιν τῶν συμβολαίων. ἀλλ' αὐτός φησιν ὁ Σόλων ὀκνῶν τὸ πρῶτον ἅψασθαι τῆς πολιτείας, καὶ δεδοικὼς τῶν μὲν τὴν φιλοχρηματίαν, τῶν δὲ τὴν ὑπερηφανίαν* (cf. fr. 5). *ᾑρέθη δ' ἄρχων μετὰ Φιλόμβροτον ὁμοῦ καὶ διαλλακτὴς καὶ νομοθέτης, δεξαμένων προθύμως αὐτὸν ὡς μὲν εὔπορον τῶν πλουσίων, ὡς δὲ χρηστὸν τῶν πενήτων. λέγεται δὲ καὶ φωνή τις αὐτοῦ περιφερομένη, πρότερον εἰπόντος ὡς τὸ ἴσον πόλεμον οὐ ποιεῖ, καὶ τοῖς κτηματικοῖς ἀρέσκειν καὶ τοῖς ἀκτήμοσι, τῶν μὲν ἀξίᾳ καὶ ἀρετῇ, τῶν δὲ μέτρῳ καὶ ἀριθμῷ τὸ ἴσον ἕξειν προσδοκώντων· ὅθεν ἐπ' ἐλπίδος μεγάλης ἑκατέρων γενομένων, οἱ προϊστάμενοι προσέκειντο τῷ Σόλωνι, τυραννίδα προξενοῦντες καὶ ἀναπείθοντες εὐτολμότερον ἅψασθαι τῆς πόλεως ἐγκρατῆ γενόμενον. πολλοὶ δὲ καὶ τῶν διὰ μέσου πολιτῶν, τὴν ὑπὸ λόγου καὶ νόμου μεταβολὴν ὁρῶντες ἐργώδη καὶ χαλεπὴν οὖσαν, οὐκ ἔφευγον ἕνα τὸν δι-*

καιότατον καὶ φρονιμώτατον ἐπιστῆσαι τοῖς πράγμασιν. ἔνιοι δέ φασι καὶ μαντείαν γενέσθαι τῷ Σόλωνι Πυθοῖ τοιαύτην (Parke-Wormell II 7)·

ἧσο μέσην κατὰ νῆα, κυβερνητήριον ἔργον
εὐθύνων· πολλοί τοι Ἀθηναίων ἐπίκουροι.

μάλιστα δ' οἱ συνήθεις ἐκάκιζον, εἰ διὰ τοὔνομα δυσωπεῖται τὴν μοναρχίαν, ὥσπερ οὐκ ἀρετῇ τοῦ λαβόντος εὐθὺς ἂν βασιλείαν γενομένην, ἢ γεγενημένην πρότερον μὲν Εὐβοεῦσι Τυννώνδαν, νῦν δὲ Μιτυληναίοις Πιττακὸν ἑλομένοις τύραννον. τούτων οὐδὲν ἐξέκρουσε τὸν Σόλωνα τῆς αὑτοῦ προαιρέσεως, ἀλλὰ πρὸς μὲν τοὺς φίλους εἶπεν, ὡς λέγεται, καλὸν μὲν εἶναι τὴν τυραννίδα χωρίον, οὐκ ἔχειν δ' ἀπόβασιν, πρὸς δὲ Φῶκον ἐν τοῖς ποιήμασι γράφων· [fr. 29, 1 – 5]. *ὅθεν εὔδηλον ὅτι καὶ πρὸ τῆς νομοθεσίας μεγάλην δόξαν εἶχεν. ἃ δὲ φυγόντος αὐτοῦ τὴν τυραννίδα πολλοὶ καταγελῶντες ἔλεγον, γέγραφεν οὕτως·* [fr. 29ª] (15) *ταῦτα τοὺς πολλοὺς καὶ φαύλους περὶ αὑτοῦ πεποίηκε λέγοντας. οὐ μὴν ἀπωσάμενός γε τὴν τυραννίδα τὸν πρᾳότατον ἐχρήσατο τρόπον τοῖς πράγμασιν, οὐδὲ μαλακῶς οὐδ' ὑπείκων τοῖς δυναμένοις οὐδὲ πρὸς ἡδονὴν τῶν ἑλομένων ἔθετο τοὺς νόμους· ἀλλ' ᾗ μὲν ἀρεστὸν ἦν, οὐκ ἐπήγαγεν ἰατρείαν οὐδὲ καινοτομίαν, φοβηθεὶς μὴ 'συγχέας παντάπασι καὶ ταράξας τὴν πόλιν, ἀσθενέστερος γένηται τοῦ καταστῆσαι πάλιν'* (tetrametros trochaicos his verbis delitescere primus coniecit Bekker: *συγχέας ἁπαντάπασι καὶ ταράξας τὴν πόλιν* | *ἀσθενέστερος γένηται* – vel *γένωμαι* – *τοῦ καταστῆσαι πάλιν*, vid., inter alios, Wil., Ar. u. Ath. II 309; adn. 7, Diehl, Anth. Lyr.² I 34s et West II 139) *καὶ διαρμόσασθαι πρὸς τὸ ἄριστον· ἃ δὲ καὶ λέγων ἤλπιζε πειθομένοις καὶ προσάγων ἀνάγκην ὑπομένουσι χρήσεσθαι, ταῦτ' ἔπραττεν, ὥς φησιν αὐτός·* [fr. 30, 16].

60 (283 M.) Plut. Sol. 16, 1ss

ἤρεσε δ' οὐδετέροις, ἀλλ' ἐλύπησε καὶ τοὺς πλουσίους ἀνελὼν τὰ συμβόλαια, καὶ μᾶλλον ἔτι τοὺς πένητας, ὅτι γῆς ἀναδασμὸν οὐκ ἐποίησεν ἐλπίσασιν αὐτοῖς, οὐδὲ παντάπασιν ὥσπερ ὁ Λυκοῦργος ὁμαλοὺς τοῖς βίοις καὶ ἴσους κατέστησεν. ἀλλ' ἐκεῖνος μὲν ἑνδέκατος ὢν ἀφ' Ἡρακλέους καὶ βεβασιλευκὼς ἔτη πολλὰ τῆς Λακεδαίμονος, ἀξίωμα μέγα καὶ φίλους καὶ δύναμιν οἷς ἔγνω καλῶς περὶ τῆς πολιτείας ὑπηρετοῦσαν εἶχε, καὶ βίᾳ μᾶλλον ἢ πειθοῖ χρησάμενος, ὥστε καὶ τὸν ὀφθαλμὸν ἐκκοπῆναι, κατειργάσατο τὸ μέγιστον εἰς σωτηρίαν πόλεως καὶ ὁμόνοιαν, μηδένα πένητα μηδὲ πλούσιον εἶναι τῶν πολιτῶν· Σόλων

δὲ τούτου μὲν οὐκ ἐφίκετο τῇ πολιτείᾳ, δημοτικὸς ὢν καὶ μέσος, ἐνδεέστερον δὲ τῆς ὑπαρχούσης δυνάμεως οὐδὲν ἔπραξεν, ὁρμώμενος ἐκ μόνου τοῦ ⟨*εὖ*⟩ (suppl. Wil.) *βουλεύεσθαι καὶ πιστεύειν αὐτῷ τοὺς πολίτας. ὅτι δ᾽ οὖν προσέκρουσε τοῖς πλείστοις ἕτερα προσδοκήσασιν, αὐτὸς εἴρηκε περὶ αὐτῶν, ὡς* [fr. 29b, 4 – 5]. *καίτοι φησίν, ὡς εἴ τις ἄλλος ἔσχε τὴν αὐτὴν δύναμιν* [fr. 31, 6 – 7].

61 (330 M.) Plut. Sol. 18, 6 s

ἔτι μέντοι μᾶλλον οἰόμενος δεῖν ἐπαρκεῖν τῇ τῶν πολλῶν ἀσθενείᾳ, παντὶ λαβεῖν δίκην ὑπὲρ τοῦ κακῶς πεπονθότος ἔδωκε. καὶ γὰρ καὶ πληγέντος ἑτέρου καὶ βιασθέντος ἢ βλαβέντος, ἐξῆν τῷ δυναμένῳ καὶ βουλομένῳ γράφεσθαι τὸν ἀδικοῦντα καὶ διώκειν, ὀρθῶς ἐθίζοντος τοῦ νομοθέτου τοὺς πολίτας ὥσπερ ἑνὸς μέρη ⟨*σώματος*⟩ (suppl. Koraës) *συναισθάνεσθαι καὶ συναλγεῖν ἀλλήλοις. τούτῳ δὲ τῷ νόμῳ συμφωνοῦντα λόγον αὐτοῦ διαμνημονεύουσιν. ἐρωτηθεὶς γὰρ ὡς ἔοικεν ἥτις οἰκεῖται κάλλιστα τῶν πόλεων, ἐκείνην εἶπεν ἐν ᾗ τῶν ἀδικουμένων οὐχ ἧττον οἱ μὴ ἀδικούμενοι προβάλλονται καὶ κολάζουσι τοὺς ἀδικοῦντας.*

62 (147 M.) Plut. Sol. 30, 1 ss

ἐπεὶ δὲ κατατρώσας αὐτὸς ἑαυτὸν ὁ Πεισίστρατος καθῆκεν εἰς ἀγορὰν ἐπὶ ζεύγους κομιζόμενος, καὶ παρώξυνε τὸν δῆμον ὡς διὰ τὴν πολιτείαν ὑπὸ τῶν ἐχθρῶν ἐπιβεβουλευμένος, καὶ πολλοὺς εἶχε ⟨*τοὺς συν*⟩*αγανακτοῦντας* (suppl. Ziegler) *καὶ βοῶντας, προσελθὼν ἐγγὺς ὁ Σόλων καὶ παραστάς 'οὐ καλῶς' εἶπεν, 'ὦ παῖ Ἱπποκράτους, ὑποκρίνῃ τὸν Ὁμηρικὸν Ὀδυσσέα· ταὐτὰ γὰρ ποιεῖς τοὺς πολίτας παρακρουόμενος, οἷς ἐκεῖνος τοὺς πολεμίους ἐξηπάτησεν, αἰκισάμενος ἑαυτόν.' ἐκ τούτου τὸ μὲν πλῆθος ἦν ἕτοιμον ὑπερμαχεῖν τοῦ Πεισιστράτου, καὶ συνῆλθεν εἰς ἐκκλησίαν ὁ δῆμος. Ἀρίστωνος δὲ γράψαντος ὅπως δοθῶσι πεντήκοντα κορυνηφόροι τῷ Πεισιστράτῳ φυλακὴ τοῦ σώματος, ἀντεῖπεν ὁ Σόλων ἀναστάς, καὶ πολλὰ διεξῆλθεν ὅμοια τούτοις οἷς διὰ τῶν ποιημάτων γέγραφεν·* [fr. 15, 7. 5. 6]. *ὁρῶν δὲ τοὺς μὲν πένητας ὡρμημένους χαρίζεσθαι τῷ Πεισιστράτῳ καὶ θορυβοῦντας, τοὺς δὲ πλουσίους ἀποδιδράσκοντας καὶ ἀποδειλιῶντας, ἀπῆλθεν εἰπὼν ὅτι τῶν μέν ἐστι σοφώτερος, τῶν δ᾽ ἀνδρειότερος· σοφώτερος μὲν τῶν μὴ συνιέντων τὸ πραττόμενον, ἀνδρειότερος δὲ τῶν συνιέντων μέν, ἐναντιοῦσθαι δὲ τῇ τυραννίδι φοβουμένων. τὸ δὲ ψήφισμα κυρώσας ὁ δῆμος οὐδὲ περὶ τοῦ πλήθους ἔτι τῶν κορυνηφόρων διεμικρολογεῖτο πρὸς τὸν Πεισίστρατον, ἀλλ᾽ ὅσους ἐβούλετο τρέφοντα*

καὶ συνάγοντα φανερῶς περιεώρα, μέχρι τὴν ἀκρόπολιν κατέσχε. γενομένου δὲ τούτου καὶ τῆς πόλεως συνταραχθείσης, ὁ μὲν Μεγακλῆς εὐθὺς ἔφυγε μετὰ τῶν ἄλλων Ἀλκμαιωνιδῶν, ὁ δὲ Σόλων ἤδη μὲν ἦν σφόδρα γέρων καὶ τοὺς βοηθοῦντας οὐκ εἶχεν, ὅμως δὲ προῆλθεν εἰς ἀγορὰν καὶ διελέχθη πρὸς τοὺς πολίτας, τὰ μὲν κακίζων τὴν ἀβουλίαν αὐτῶν καὶ μαλακίαν, τὰ δὲ παροξύνων ἔτι καὶ παρακαλῶν μὴ προέσθαι τὴν ἐλευθερίαν· ὅτε καὶ τὸ μνημονευόμενον εἶπεν, ὡς πρώην μὲν ἦν αὐτοῖς εὐμαρέστερον τὸ κωλῦσαι τὴν τυραννίδα συνισταμένην, νῦν δὲ μεῖζόν ἐστι καὶ λαμπρότερον ἐκκόψαι καὶ ἀνελεῖν συνεστῶσαν ἤδη καὶ πεφυκυῖαν. οὐδενὸς δὲ προσέχοντος αὐτῷ διὰ τὸν φόβον, ἀπῆλθεν εἰς τὴν οἰκίαν τὴν ἑαυτοῦ, καὶ λαβὼν τὰ ὅπλα καὶ πρὸ τῶν θυρῶν θέμενος εἰς τὸν στενωπόν, 'ἐμοὶ μέν' εἶπεν 'ὡς δυνατὸν ἦν βεβοήθηται τῇ πατρίδι καὶ τοῖς νόμοις'. καὶ τὸ λοιπὸν ἡσυχίαν ἦγε, καὶ τῶν φίλων φεύγειν παραινούντων οὐ προσεῖχεν, ἀλλὰ ποιήματα γράφων ὠνείδιζε τοῖς Ἀθηναίοις· [fr. 15, 1–4].

De seisachtheia

63 (274 M.) Aristot. Ath. Pol. 2, 1s

μετὰ δὲ ταῦτα συνέβη στασιάσαι τούς τε γνωρίμους καὶ τὸ πλῆθος πολὺν χρόνον {τὸν δῆμον}. ἦν γὰρ αὐτῶν ἡ πολιτεία τοῖς τε ἄλλοις ὀλιγαρχικὴ πᾶσι, καὶ δὴ καὶ ἐδούλευον οἱ πένητες τοῖς πλουσίοις καὶ αὐτοὶ καὶ τὰ τέκνα καὶ αἱ γυναῖκες. καὶ ἐκαλοῦντο πελάται καὶ ἑκτήμοροι· κατὰ ταύτην γὰρ τὴν μίσθωσιν ἠργάζοντο τῶν πλουσίων τοὺς ἀγρούς. ἡ δὲ πᾶσα γῆ δι' ὀλίγων ἦν· καί, εἰ μὴ τὰς μισθώσεις ἀποδιδοῖεν, ἀγώγιμοι καὶ αὐτοὶ καὶ οἱ παῖδες ἐγίνοντο· καὶ οἱ δανεισμοὶ πᾶσιν ἐπὶ τοῖς σώμασιν ἦσαν μέχρι Σόλωνος.

64 (276 M.) Aristot. Ath. Pol. 6, 1—7, 1

κύριος δὲ γενόμενος τῶν πραγμάτων Σόλων τόν τε δῆμον ἠλευθέρωσε καὶ ἐν τῷ παρόντι καὶ εἰς τὸ μέλλον, κωλύσας δανείζειν ἐπὶ τοῖς σώμασιν, καὶ νόμους ἔθηκε καὶ χρεῶν ἀποκοπὰς ἐποίησε καὶ τῶν ἰδίων καὶ τῶν δημοσίων, ἃς σεισάχθειαν καλοῦσιν, ὡς ἀποσεισάμενοι τὸ βάρος. ἐν οἷς πειρῶνταί τινες διαβάλλειν αὐτόν· συνέβη γὰρ τῷ Σόλωνι μέλλοντι ποιεῖν τὴν σεισάχθειαν προειπεῖν τισι τῶν γνωρίμων, ἔπειθ', ὡς μὲν οἱ δημοτικοὶ λέγουσι, παραστρατηγηθῆναι διὰ τῶν φίλων, ὡς δ' οἱ βουλόμενοι βλασφημεῖν, καὶ αὐτὸν κοινωνεῖν. δανεισάμενοι γὰρ οὗτοι συνεπρίαντο πολλὴν χώραν, καὶ μετ' οὐ πολὺ

τῆς τῶν χρεῶν ἀποκοπῆς γενομένης ἐπλούτουν· ὅθεν φασὶ γενέσθαι τοὺς ὕστερον δοκοῦντας εἶναι παλαιοπλούτους. οὐ μὴν ἀλλὰ πιθανώτερος ὁ τῶν δημοτικῶν λόγος· οὐ γὰρ εἰκὸς ἐν μὲν τοῖς ἄλλοις οὕτω μέτριον γενέσθαι καὶ κοινόν, ὥστ' ἐξὸν αὐτῷ τοὺς ἑτέρους ὑποποιησάμενον τυραννεῖν τῆς πόλεως, ἀμφοτέροις ἀπεχθέσθαι καὶ περὶ πλείονος ποιήσασθαι τὸ καλὸν καὶ τὴν τῆς πόλεως σωτηρίαν ἢ τὴν αὑτοῦ πλεονεξίαν, ἐν οὕτω δὲ μικροῖς καὶ φανεροῖς καταρρυπαίνειν ἑαυτόν. ὅτι δὲ ταύτην ἔσχε τὴν ἐξουσίαν, τά τε πράγματα νοσοῦντα μαρτυρεῖ, καὶ ἐν τοῖς ποιήμασιν αὐτὸς πολλαχοῦ μέμνηται, καὶ οἱ ἄλλοι συνομολογοῦσι πάντες. ταύτην μὲν οὖν χρὴ νομίζειν ψευδῆ τὴν αἰτίαν εἶναι.

65 (277 M.) Aristot. Ath. Pol. 10, 1

ἐν μὲν οὖν τοῖς νόμοις ταῦτα δοκεῖ θεῖναι δημοτικά, πρὸ δὲ τῆς νομοθεσίας ποιῆσαι τὴν τῶν χρεῶν ἀποκοπὴν καὶ μετὰ ταῦτα τήν τε τῶν μέτρων καὶ σταθμῶν καὶ τὴν τοῦ νομίσματος αὔξησιν.

66 (278 M.) Aristot. Ath. Pol. 11, 2

ἅμα δὲ καὶ συνέβαινεν αὐτῷ τῶν τε γνωρίμων διαφόρους γεγενῆσθαι πολλοὺς διὰ τὰς τῶν χρεῶν ἀποκοπάς, καὶ τὰς στάσεις ἀμφοτέρας μεταθέσθαι διὰ τὸ παράδοξον αὐτοῖς γενέσθαι τὴν κατάστασιν. ὁ μὲν γὰρ δῆμος ᾤετο πάντ' ἀνάδαστα ποιήσειν αὐτόν, οἱ δὲ γνώριμοι πάλιν εἰς τὴν αὐτὴν τάξιν ἀποδώσειν ἢ μικρὸν παραλλάξειν κτλ. (cf. Test. 54).

67 (280 M.) Aristot. Ath. Pol. 13, 3ss

ὅλως δὲ διετέλουν νοσοῦντες τὰ πρὸς ἑαυτούς, οἱ μὲν ἀρχὴν καὶ πρόφασιν ἔχοντες τὴν τῶν χρεῶν ἀποκοπήν — συνεβεβήκει γὰρ αὐτοῖς γεγονέναι πένησιν —, οἱ δὲ τῇ πολιτείᾳ δυσχεραίνοντες διὰ τὸ μεγάλην γεγονέναι μεταβολήν, ἔνιοι δὲ διὰ τὴν πρὸς ἀλλήλους φιλονικίαν. ἦσαν δ' αἱ στάσεις τρεῖς· μία μὲν τῶν παραλίων, ὧν προειστήκει Μεγακλῆς ὁ Ἀλκμέωνος, οἵπερ ἐδόκουν μάλιστα διώκειν τὴν μέσην πολιτείαν· ἄλλη δὲ τῶν πεδιακῶν, οἳ τὴν ὀλιγαρχίαν ἐζήτουν, ἡγεῖτο δ' αὐτῶν Λυκοῦργος· τρίτη δ' ἡ τῶν διακρίων, ἐφ' ᾗ τεταγμένος ἦν Πεισίστρατος, δημοτικώτατος εἶναι δοκῶν. προσεκεκόσμηντο δὲ τούτοις οἵ τε ἀφῃρημένοι τὰ χρέα διὰ τὴν ἀπορίαν καὶ οἱ τῷ γένει μὴ καθαροὶ διὰ τὸν φόβον· σημεῖον δ', ὅτι μετὰ τὴν [τῶν] τυράννων κατάλυσιν ἐποίησαν διαψηφισμόν, ὡς πολλῶν κοινωνούντων τῆς πολιτείας οὐ προσῆκον. εἶχον δὲ ἕκαστοι τὰς ἐπωνυμίας ἀπὸ τῶν τόπων ἐν οἷς ἐγεώργουν.

68 (289 M.) Cic. De rep. 2, 59

fuerat fortasse aliqua ratio maioribus nostris in illo aere alieno medendi, quae neque Solonem Atheniensem non longis temporibus ante fugerat, neque post aliquanto nostrum senatum, cum sunt propter unius libidinem omnia nexa civium liberata nectierque postea desitum, semperque huic oneri, cum plebes publica calamitate impendiis debilitata deficeret, salutis omnium causa aliqua sublevatio et medicina quaesita est.

69 (286 M.) Diod. 1, 79, 4

δοκεῖ δὲ καὶ τοῦτον τὸν νόμον ὁ Σόλων εἰς τὰς Ἀθήνας μετενεγκεῖν, ὃν ὠνόμασε σεισάχθειαν, ἀπολύσας τοὺς πολίτας ἅπαντας τῶν ἐπὶ τοῖς σώμασι πεπιστευμένων δανείων. μέμφονται δέ τινες οὐκ ἀλόγως τοῖς πλείστοις τῶν παρὰ τοῖς Ἕλλησι νομοθετῶν, οἵτινες ὅπλα μὲν καὶ ἄροτρον καὶ ἄλλα τῶν ἀναγκαιοτάτων ἐκώλυσαν ἐνέχυρα λαμβάνεσθαι πρὸς δάνειον, τοὺς δὲ τούτοις χρησομένους συνεχώρησαν ἀγωγίμους εἶναι.

70 (275 M.) Plut. Sol. 13, 3ss

τότε δὲ τῆς τῶν πενήτων πρὸς τοὺς πλουσίους ἀνωμαλίας ὥσπερ ἀκμὴν λαβούσης, παντάπασιν ἐπισφαλῶς ἡ πόλις διέκειτο, καὶ μόνως ἂν ἐδόκει καταστῆναι καὶ παύσασθαι ταραττομένη τυραννίδος γενομένης. ἅπας μὲν γὰρ ὁ δῆμος ἦν ὑπόχρεως τῶν πλουσίων. ἢ γὰρ ἐγεώργουν, ἐκείνοις ἕκτα τῶν γινομένων τελοῦντες, ἑκτημόριοι (ἑκτήμοροι Koraës) *προσαγορευόμενοι καὶ θῆτες, ἢ χρέα λαμβάνοντες ἐπὶ τοῖς σώμασιν, ἀγώγιμοι τοῖς δανείζουσιν ἦσαν, οἱ μὲν αὐτοῦ δουλεύοντες, οἱ δ' ἐπὶ τὴν ξένην πιπρασκόμενοι. πολλοὶ δὲ καὶ παῖδας ἰδίους ἠναγκάζοντο πωλεῖν — οὐδεὶς γὰρ νόμος ἐκώλυε — καὶ τὴν πόλιν φεύγειν διὰ τὴν χαλεπότητα τῶν δανειστῶν. οἱ δὲ πλεῖστοι καὶ ῥωμαλεώτατοι συνίσταντο καὶ παρεκάλουν ἀλλήλους μὴ περιορᾶν, ἀλλ' ἑλομένους ἕνα προστάτην ἄνδρα πιστὸν ἀφελέσθαι τοὺς ὑπερημέρους, καὶ τὴν γῆν ἀναδάσασθαι, καὶ ὅλως μεταστῆσαι τὴν πολιτείαν.*

71 (282 M.) Plut. Sol. 15, 2ss

ὅθεν ὕστερον ἐρωτηθείς, εἰ τοὺς ἀρίστους Ἀθηναίοις νόμους ἔγραψεν, ‘ὧν ἄν’ ἔφη ‘προσεδέξαντο τοὺς ἀρίστους’. ἃ δ' οὖν οἱ νεώτεροι τοὺς Ἀθηναίους λέγουσι τὰς τῶν πραγμάτων δυσχερείας ὀνόμασι χρηστοῖς καὶ φιλανθρώποις ἐπικαλύπτοντας ἀστείως ὑποκορίζεσθαι,

τὰς μὲν πόρνας ἑταίρας, τοὺς δὲ φόρους συντάξεις, φυλακὰς δὲ τὰς φρουρὰς τῶν πόλεων, οἴκημα δὲ τὸ δεσμωτήριον καλοῦντας, πρῶτον Σόλωνος ἦν ὡς ἔοικε σόφισμα, τὴν τῶν χρεῶν ἀποκοπὴν σεισάχθειαν ὀνομάσαντος. τοῦτο γὰρ ἐποιήσατο πρῶτον πολίτευμα, γράψας τὰ μὲν ὑπάρχοντα τῶν χρεῶν ἀνεῖσθαι, πρὸς δὲ τὸ λοιπὸν ἐπὶ τοῖς σώμασι μηδένα δανείζειν. καίτοι τινὲς ἔγραψαν, ὧν ἐστιν Ἀνδροτίων (FGrHist 324 F 34), *οὐκ ἀποκοπῇ χρεῶν, ἀλλὰ τόκων μετριότητι κουφισθέντας ἀγαπῆσαι τοὺς πένητας, καὶ σεισάχθειαν ὀνομάσαι τὸ φιλανθρώπευμα τοῦτο καὶ τὴν ἅμα τούτῳ γενομένην τῶν τε μέτρων ἐπαύξησιν καὶ τοῦ νομίσματος τιμῆς. ἑκατὸν γὰρ ἐποίησε δραχμῶν τὴν μνᾶν, πρότερον ἑβδομήκοντα καὶ τριῶν οὖσαν* (*ἑβδομήκοντ' ἄγουσαν* Th. Reinach), *ὥστ' ἀριθμῷ μὲν ἴσον, δυνάμει δ' ἔλαττον ἀποδιδόντων, ὠφελεῖσθαι μὲν τοὺς ἐκτίνοντας μεγάλα, μηδὲν δὲ βλάπτεσθαι τοὺς κομιζομένους. οἱ δὲ πλεῖστοι πάντων ὁμοῦ φασι τῶν συμβολαίων ἀναίρεσιν γενέσθαι τὴν σεισάχθειαν, καὶ τούτοις συνᾴδει μᾶλλον τὰ ποιήματα. σεμνύνεται γὰρ ὁ Σόλων ἐν τούτοις, ὅτι τῆς θ' ὑποκειμένης γῆς* [fr. 30, 6–7], *καὶ τῶν ἀγωγίμων πρὸς ἀργύριον γεγονότων πολιτῶν τοὺς μὲν ἀνήγαγεν ἀπὸ ξένης* [fr. 30, 11–14] *ἐλευθέρους φησὶ ποιήσασθαι. πρᾶγμα δ' αὐτῷ συμπεσεῖν λέγεται πάντων ἀνιαρότατον ἀπὸ τῆς πράξεως ἐκείνης. ὡς γὰρ ὥρμησεν ἀνιέναι τὰ χρέα καὶ λόγους ἁρμόττοντας ἐζήτει καὶ πρέπουσαν ἀρχήν, ἐκοινώσατο τῶν φίλων οἷς μάλιστα πιστεύων καὶ χρώμενος ἐτύγχανε, τοῖς περὶ Κόνωνα καὶ Κλεινίαν καὶ Ἱππόνικον, ὅτι γῆν μὲν οὐ μέλλει κινεῖν, χρεῶν δὲ ποιεῖν ἀποκοπὰς ἔγνωκεν. οἱ δὲ προλαβόντες εὐθὺς καὶ φθάσαντες, ἐδανείσαντο συχνὸν ἀργύριον παρὰ τῶν πλουσίων, καὶ μεγάλας συνωνήσαντο χώρας. εἶτα τοῦ δόγματος ἐξενεχθέντος, τὰ μὲν κτήματα καρπούμενοι, τὰ δὲ χρήματα τοῖς δανείσασιν οὐκ ἀποδιδόντες, εἰς αἰτίαν τὸν Σόλωνα μεγάλην καὶ διαβολὴν ὥσπερ οὐ συναδικούμενον, ἀλλὰ συναδικοῦντα κατέστησαν. ἀλλὰ τοῦτο μὲν εὐθὺς ἐλύθη τὸ ἔγκλημα τοῖς πέντε ταλάντοις· τοσαῦτα γὰρ εὑρέθη δανείζων, καὶ ταῦτα πρῶτος ἀφῆκε κατὰ τὸν νόμον. ἔνιοι δὲ πεντεκαίδεκα λέγουσιν, ὧν καὶ Πολύζηλος ὁ Ῥόδιός* (FGrHist 521 F 8) *ἐστι. τοὺς μέντοι φίλους αὐτοῦ χρεοκοπίδας καλοῦντες διετέλεσαν.*

72 (284 M.) Plut. Sol. 16, 4s

ταχὺ μέντοι τοῦ συμφέροντος αἰσθόμενοι καὶ τὰς ἰδίας αὐτῶν μέμψεις ἀφέντες, ἔθυσάν τε κοινῇ, Σεισάχθεια τὴν θυσίαν ὀνομάσαντες, καὶ τὸν Σόλωνα τῆς πολιτείας διορθωτὴν καὶ νομοθέτην ἀπέδειξαν,

οὐ τὰ μέν, τὰ δ' οὐχί, πάντα δ' ὁμαλῶς ἐπιτρέψαντες, ἀρχάς, ἐκκλησίας, δικαστήρια, βουλάς, καὶ τίμημα τούτων ἑκάστου καὶ ἀριθμὸν καὶ καιρὸν ὁρίσαι, λύοντα καὶ φυλάττοντα τῶν ὑπαρχόντων καὶ καθεστώτων ὅ τι δοκοίη.

73 (285 M.) Plut. Praec. ger. reipubl. 13 p. 807d

ὄργανα γὰρ οἱ φίλοι ζῶντα καὶ φρονοῦντα τῶν πολιτικῶν ἀνδρῶν εἰσι, καὶ οὐ δεῖ συνολισθάνειν αὐτοῖς παραβαίνουσιν, ἀλλὰ προσέχειν ὅπως μηδ' ἀγνοούντων αὐτῶν ἐξαμαρτάνωσι. τοῦτο γὰρ καὶ Σόλωνα κατήσχυνε καὶ διέβαλε πρὸς τοὺς πολίτας· ἐπεὶ γὰρ ἐν νῷ λαβὼν τὰ ὀφλήματα κουφίσαι καὶ τὴν σεισάχθειαν (τοῦτο δ' ἦν ὑποκόρισμα χρεῶν ἀποκοπῆς) εἰσενεγκεῖν ἐκοινώσατο τοῖς φίλοις, οἱ δ' ἔργον ἀδικώτατον ἔπραξαν· ἐδανείσαντο γὰρ ὑποφθάσαντες ἀργύριον πολύ, καὶ μετ' ὀλίγον χρόνον εἰς φῶς τοῦ νόμου προαχθέντος οἱ μὲν ἐφάνησαν οἰκίας τε λαμπρὰς καὶ γῆν συνεωνημένοι πολλὴν ἐξ ὧν ἐδανείσαντο χρημάτων, ὁ δὲ Σόλων αἰτίαν ἔσχε συναδικεῖν ἠδικημένος.

74 Exc. Vat. XXIII (Myth. Gr. III 2, 99 Festa)

περὶ σεισαχθείας· ὅτι Σόλων ὁ Σαλαμίνιος πρῶτον Ἀθηναίοις τὴν σεισάχθειαν εἰσηγήσατο. τὸ δὲ ἦν λύτρωσις σωμάτων· καὶ γὰρ ἐπὶ σώμασιν ἐδανείζοντο καὶ ἀποροῦντες ἐθήτευον.

75 Anonym. in Hermog. *π. στάσεων* (Rhet. Gr. VII 1, 146, 26ss Walz)

Σόλων γὰρ ὑπ' ἀμφοτέρων αἱρεθεὶς τῶν μερίδων χρεῶν ἀποκοπὰς ποιησάμενος κατέλυσε τὴν στάσιν· καὶ ἐκλήθη τὸ τοιοῦτον σεισάχθεια παρὰ τὸ ἀποσείσασθαι τὸ ἄχθος τοὺς πένητας.

76 (288 M.) Diog. Laert. 1, 45

Σόλων Ἐξηκεστίδου Σαλαμίνιος πρῶτον μὲν τὴν σεισάχθειαν εἰσηγήσατο Ἀθηναίοις· τὸ δὲ ἦν λύτρωσις σωμάτων τε καὶ κτημάτων. καὶ γὰρ ἐπὶ σώμασιν ἐδανείζοντο καὶ πολλοὶ δι' ἀπορίαν ἐθήτευον. ἑπτὰ δὴ ταλάντων ὀφειλομένων αὐτῷ πατρῴων συνεχώρησε πρῶτος καὶ τοὺς λοιποὺς τὸ ὅμοιον προὔτρεψε πρᾶξαι. καὶ οὗτος ὁ νόμος ἐκλήθη σεισάχθεια· φανερὸν δὲ διὰ τί.

De arte et dictis

77 (671 M.) Aristot. Pol. 1 p. 1256b 26ss

ἓν μὲν οὖν εἶδος κτητικῆς κατὰ φύσιν τῆς οἰκονομικῆς μέρος ἐστίν, ὅτι δεῖ ἤτοι ὑπάρχειν ἢ πορίζειν αὐτὴν ὅπως ὑπάρχῃ, ὧν ἐστι θησαυ-

ρισμὸς χρημάτων πρὸς ζωὴν ἀναγκαίων καὶ χρησίμων εἰς κοινωνίαν πόλεως ἢ οἰκίας. καὶ ἔοικεν ὅ γ' ἀληθινὸς πλοῦτος ἐκ τούτων εἶναι. ἡ γὰρ τῆς τοιαύτης κτήσεως αὐτάρκεια πρὸς ἀγαθὴν ζωὴν οὐκ ἄπειρός ἐστιν, ὥσπερ Σόλων φησὶ ποιήσας· [fr. 1, 71]. *κεῖται γὰρ ὥσπερ καὶ ταῖς ἄλλαις τέχναις· οὐδὲν γὰρ ὄργανον ἄπειρον οὐδεμιᾶς ἐστι τέχνης οὔτε πλήθει οὔτε μεγέθει, ὁ δὲ πλοῦτος ὀργάνων πλῆθός ἐστιν οἰκονομικῶν καὶ πολιτικῶν. ὅτι μὲν τοίνυν ἔστι τις κτητικὴ κατὰ φύσιν τοῖς οἰκονόμοις καὶ τοῖς πολιτικοῖς, καὶ δι' ἣν αἰτίαν, δῆλον.*

78 (719 M.) Aristot. Rhet. 1 p. 1375b 28ss

λέγω δὲ παλαιοὺς μὲν τούς τε ποιητὰς καὶ ὅσων ἄλλων γνωρίμων εἰσὶν κρίσεις φανεραί, οἷον Ἀθηναῖοι Ὁμήρῳ μάρτυρι ἐχρήσαντο περὶ Σαλαμῖνος καὶ Τενέδιοι ἔναγχος Περιάνδρῳ τῷ Κορινθίῳ πρὸς Σιγειεῖς, καὶ Κλεοφῶν κατὰ Κριτίου τοῖς Σόλωνος ἐλεγείοις ἐχρήσατο, λέγων ὅτι πάλαι ἀσελγὴς ἡ οἰκία· οὐ γὰρ ἄν ποτε ἐποίησε Σόλων· [fr. 22, 1].

79 (719 M.) Anonym. in Aristot. Rhet. 1 p. 1375 b 28 (Comment. in Aristot. Gr. XXI 81, 9ss Rabe)

οἷον οἱ Ἀθηναῖοι μέλλοντες δεῖξαι, ὅτι ἡ Σαλαμὶν ὑποτελὴς ἦν αὐτοῖς, ἐχρήσαντο τῷ Ὁμήρῳ μάρτυρι· ἐν γὰρ τῇ Βοιωτίᾳ τοῦτο Ὅμηρος ἐδήλωσε... καὶ μέλλων δεῖξαι (scil. *ὁ Κλεοφῶν*), *ὅτι πάλαι ἀσελγὴς ἦν ἡ τοῦ Κριτίου οἰκία, ἐχρήσατο τοῖς ἐλεγείοις τοῦ Σόλωνος· εἰ γὰρ μὴ ἀσελγὴς ἦν, οὐκ ἂν ὁ Σόλων ἐποίησεν ἤτοι ποιητικῶς εἶπε τό·* [fr. 22, 1]. *ᾗ μὲν γὰρ εἶπεν αὐτὸν πυρότριχα, ὡς γυναικώδη τοῦτον ἀπέσκωψεν, ᾗ δὲ εἶπεν αὐτὸν πατρὸς ἀκούειν, ὡς πατραλοίαν καὶ τοῦ πατρὸς παρακούειν ἐδήλωσεν.*

80 (709 M.) Plut. Sol. 3, 1ss

τὸ δ' οὖν εὐδάπανον τῷ Σόλωνι καὶ ὑγρὸν πρὸς τὴν δίαιταν καὶ τὸ φορτικώτερον ἢ φιλοσοφώτερον ἐν τοῖς ποιήμασι διαλέγεσθαι περὶ τῶν ἡδονῶν τὸν ἐμπορικὸν οἴονται βίον προστετρῖφθαι· πολλοὺς γὰρ ἔχοντα κινδύνους καὶ μεγάλους ἀνταπαιτεῖν πάλιν εὐπαθείας τινὰς καὶ ἀπολαύσεις. ὅτι δ' ἑαυτὸν ἐν τῇ τῶν πενήτων μερίδι μᾶλλον ἢ τῇ τῶν πλουσίων ἔταττε, δῆλόν ἐστιν ἐκ τούτων· [fr. 6]. *τῇ δὲ ποιήσει κατ' ἀρχὰς μὲν εἰς οὐδὲν ἄξιον σπουδῆς, ἀλλὰ παίζων ἔοικε προσχρήσασθαι καὶ τέρπων ἑαυτὸν ἐν τῷ σχολάζειν. ὕστερον δὲ καὶ γνώμας ἐνέτεινε φιλοσόφους, καὶ τῶν πολιτικῶν πολλὰ συγκατέπλεκε τοῖς ποιήμασιν, οὐχ ἱστορίας ἕνεκεν καὶ μνήμης, ἀλλ' ἀπολογισμοὺς τῶν πεπραγμένων*

ἔχοντα καὶ προτροπὰς ἐνιαχοῦ καὶ νουθεσίας καὶ ἐπιπλήξεις πρὸς τοὺς Ἀθηναίους. ἔνιοι δέ φασιν ὅτι καὶ τοὺς νόμους ἐπεχείρησεν ἐντείνας εἰς ἔπος ἐξενεγκεῖν, καὶ διαμνημονεύουσι τὴν ἀρχὴν οὕτως ἔχουσαν· [fr. °40].

81 (729 M.) Plut. De cupid. divit. 4 p. 524e

ἐπεὶ τήν γε χρηματικήν (scil. *πενίαν*), *ὥς φησιν ὁ Μένανδρος, εἷς ἂν φίλος ἀπαλλάξειεν εὐεργετήσας, τὴν δὲ ψυχικὴν ἐκείνην οὐκ ἂν ἐμπλήσειαν ἅπαντες οὔτε ζῶντες οὔτ' ἀποθανόντες. ὅθεν εὖ πρὸς τούτους λέλεκται ὑπὸ τοῦ Σόλωνος·* [fr. 1, 71]. *ἐπεὶ τοῖς γε νοῦν ἔχουσιν ὁ τῆς φύσεως πλοῦτος ὥρισται καὶ τὸ τέρμα πάρεστι, τῆς χρείας καθάπερ κέντρῳ καὶ διαστήματι περιγραφόμενον.*

82 (730 M.) Plut. De inim. util. 11 p. 92d

εἰ δέ τινας οἱ ἐχθροὶ κολακεύοντες ἢ πανουργοῦντες ἢ δεκάζοντες ἢ μισθαρνοῦντες αἰσχρῶς καὶ ἀνελευθέρως δοκοῦσι καρποῦσθαι δυνάμεις ἐν αὐλαῖς ἢ πολιτείαις, οὐκ ἐνοχλήσουσιν ἡμᾶς ἀλλὰ μᾶλλον εὐφρανοῦσι, τὴν αὑτῶν ἐλευθερίαν καὶ τὸ καθαρὸν τοῦ βίου καὶ ἀνύβριστον ἀντιτιθέντας· 'ἅπας' γὰρ 'ὁ ὑπὲρ γῆς καὶ ὑπὸ γῆς χρυσὸς ἀρετῆς οὐκ ἀντάξιος' κατὰ Πλάτωνα (Leg. 728a), *καὶ τὸ τοῦ Σόλωνος ἔχειν ἀεὶ δεῖ πρόχειρον* [fr. 6, 2. 3] *οὐδέ γε βοὰς δεδειπνισμένων θεάτρων οὐδὲ τιμὰς καὶ προεδρίας παρ' εὐνούχοις καὶ παλλακαῖς καὶ σατράπαις βασιλέων· ζηλωτὸν γὰρ οὐδὲν οὐδὲ καλὸν ἐξ αἰσχροῦ φυόμενον.*

83 (731 M.) Aristid. Or. 28, 137 (II 184, 25ss Keil)

ἵνα τοίνυν εἰδῇς ὅτι καὶ Σόλων ὁ τῶν νομοθετῶν ἐνδοξότατος παραφθέγγεται, ἄκουε καὶ τούτου. καίτοι τοσοῦτόν γε ἐμὲ τόλμῃ καὶ αὐθαδείᾳ παρελήλυθεν, ταῦτα γὰρ αὐτῷ τὰ ὀνόματα ἐκ τῆς σῆς αἰτίας ἁρμόττει, ὥστ' ἐγὼ μὲν ἔξω τοῦ βιβλίου παρελήρησα, καὶ ταῦτα ἐξαχθεὶς ὑπὸ τοῦ λόγου, ὁ δὲ δὴ Σόλων καὶ βιβλίον ἐξεπίτηδες πεποίηκεν, ὥσπερ ἡμεῖς εἰς τὴν Ἀθηνᾶν, οὕτως ἐκεῖνος εἰς αὑτὸν καὶ τὴν ἑαυτοῦ πολιτείαν, ἐν ᾧ ἄλλα τε δὴ λέγει καὶ ταῦτα· [fr. 29b, 6–7]. *ὁρᾷς ὡς αὐθαδῶς καὶ οὐ τῆς σῆς συμβουλῆς; καὶ ταῦτα μέν ἐστιν ἐν τετραμέτροις, ἐν δὲ τοῖς ἰάμβοις·* [fr. 30, 3–22].

84 Censorin. De die natali 14, 7 (ex Varrone)

sed ex iis omnibus proxime videntur accessisse naturam qui hebdomadibus humanam vitam emensi sunt. fere enim post sep-

timum quemque annum articulos quosdam et in his aliquid novi natura ostendit, ut et in elegia Solonis (*cf. fr. 23*) cognoscere datur. ait enim in prima hebdomade dentes homini cadere, in secunda pubem apparere, in tertia barbam nasci, in quarta vires, in quinta maturitatem ad stirpem relinquendam, in sexta cupiditatibus temperari, in septima prudentiam linguamque consummari, in octava eadem manere (in qua alii dixerunt oculos albescere), in nona omnia fieri languidiora, in decima hominem fieri morti maturum.

85 Diog. Laert. 1, 55

Σόλων δὲ ὅρον ἀνθρωπίνου βίου φησὶν ἔτη ἑβδομήκοντα (cf. fr. 23, 17s).

86 (707 M.) Diog. Laert. 1, 61

γέγραφε δὲ δῆλον μὲν ὅτι τοὺς νόμους, καὶ δημηγορίας καὶ εἰς ἑαυτὸν ὑποθήκας, ἐλεγεῖα, καὶ τὰ περὶ Σαλαμῖνος καὶ τῆς Ἀθηναίων πολιτείας ἔπη πεντακισχίλια, καὶ ἰάμβους καὶ ἐπῳδούς.

87 Clem. Alex. Strom. 5, 108, 1

ἀλλὰ καὶ αἱ Σόλωνος ἐλεγεῖαι σφόδρα τὴν ἑβδομάδα ἐκθειάζουσιν.

88 (734 M.) Basil. Ad adul. 9, 103 (58 Boulenger)

ἀλλ' ὅσῳπερ ἂν πλείω προσπεριβάλωνται, τοῦ ἴσου δέονται ἢ καὶ πλείονος πρὸς τὴν τῆς ἐπιθυμίας ἐκπλήρωσιν κατὰ τὸν Ἐξηκεστίδου Σόλωνα, ὅς φησι· [fr. 1, 71].

89 Hippolyt. Refut. 6, 22, 1

ἡ μὲν οὖν ἀρχὴ τῆς ὑποθέσεώς ἐστιν ἐν τῷ Τιμαίῳ τῷ Πλάτωνι σοφία Αἰγυπτίων· ἐκεῖθεν γὰρ ὁ Σόλων τὴν ὅλην ὑπόθεσιν περὶ τῆς κόσμου γενέσεως καὶ φθορᾶς παλαιῷ τινι λόγῳ καὶ προφητικῷ, ὥς φησιν ὁ Πλάτων (Tim. 22b), *τοὺς Ἕλληνας ἐδίδαξε, παῖδας νέους ὄντας καὶ πρεσβύτερον ἐπισταμένους μάθημα οὐδὲν θεολογούμενον.* cf. Theodoret. Graec. aff. cur. 1, 50s Raeder.

90 (681 M.) Procl. in Plat. Tim. 20d (I 81, 16ss D.)

φασὶ δέ τινες, ὅτι καὶ νοῦν ἐπιστατεῖν τοῖς ὅλοις πρὸ Ἀναξαγόρου Σόλων ἀπεφήνατο· ἐξ ὧν ἁπάντων ὅτι μετῆν αὐτῷ σοφίας τινὸς ἐναργές ἐστιν.

91 (705 M.) Procl. in Plat. Remp. (I 64, 25ss Kroll)

οἷς (scil. *λόγοις*) *ἕπεσθαι προσήκει τὰς ἁρμονίας, ὡς ταύταις τοὺς ῥυθμούς. εἰ δὲ ταῦτα ἀληθῶς ἐν Νόμοις* (2, 669 b ss) *εἰρημένα πεφωράκαμεν, δῆλον δήπουθεν, ὅτι τὸν τοῖς ὅροις τούτοις χρώμενον τῆς ποιητικῆς καὶ διορίζοντα τὰ μέτρα πάντων τούτων, λόγων ἁρμονιῶν ῥυθμῶν, καὶ μάλιστα ἂν θείμεθα κριτὴν ποιητῶν ἄριστον εἶναι, καὶ οὐχ ὥσπερ ἔδοξέν τισιν κίβδηλον ἐκ τῶν ἐν Τιμαίῳ* (21 c) *περὶ τῶν Σόλωνος ποιημάτων λόγων, οὓς εἰς Κριτίαν ἀνέπεμψεν τὸν πρεσβύτερον, ὃν ἔδει περὶ ἀνδρὸς προσήκοντος αὐτῷ λέγοντα τὰ αἰσιώτερα λέγειν· πρὸς τῷ καὶ τὸν ἔπαινον ἐστοχάσθαι τῆς Σόλωνος περὶ τὴν ποίησιν τῶν τε ὀνομάτων ἕνεκα καὶ τῶν νοημάτων ἐξουσίας. τὸ γὰρ ἐλευθεριώτατον εἶναι τῶν ποιητῶν τὴν ἐν τούτοις ἄδειαν δηλοῖ, μήτε ὀνομάτων ὥρας φροντίζουσαν, οἵαν οἱ πολλοὶ περὶ πλείονος ἄγοντες βοστρυχίζουσι τοὺς στίχους, μήτε νοημάτων πέρι τῆς ποικιλίας, οἵας ἀντεχόμενοί τινες τὸ ἦθος ἀμβλύνουσιν τὸ ἀνηγμένον εἰς ἀρετήν. ὥστε ἐμοὶ δοκεῖ καὶ τοῦτο πρέπον ὄνομα τῇ ἰδιότητι τῶν Σόλωνος ποιημάτων εἰς αὐτὸν ἀπορρῖψαι, κἂν ᾖ Κριτίας ὁ κριτής.*

92 (717 M.) Schol. *P* 265 (IV 381, 1ss Erbse)

Σόλωνά φασι τὸν νομοθέτην, μιμησάμενον τὴν Ὁμήρου ποίησιν ἐν ἅπασιν, ἐνθάδε γενόμενον καὶ προσσχόντα τῷ στίχῳ σφόδρα κατ' εὐταξίαν ἐπιτετευγμένῳ διαπορῆσαι καὶ θαυμάσαντα κατακαῦσαι πάντα τὰ ἴδια σκέμματα. τῆς γὰρ ἐπ' ἀλλήλου τῶν ὑδάτων ἐκβολῆς ἡ τοῦ βοόωσιν ἀναδίπλωσις ὁμοίαν ἀπετέλησε συνῳδίαν. καὶ ἀλλαχοῦ χρῆται τῇ λέξει· 'οὔτε θαλάσσης κῦμα τόσον βοάᾳ' (*Ξ* 394).

93 (1 M.) Suda s. v. *Σόλων* (IV 397, 3ss Adler)

ἔγραψε νόμους Ἀθηναίοις, οἵτινες ἄξονες ὠνομάσθησαν διὰ τὸ γραφῆναι αὐτοὺς ἐν ξυλίνοις ἄξοσιν Ἀθήνησι. ποίημα δ' ἐλεγείων, ὃ Σαλαμὶς ἐπιγράφεται· ὑποθήκας δι' ἐλεγείας· καὶ ἄλλα.

94 Maxim. Plan. in Hermog. *π. εὑρέσ.* 365 (Rhet. Gr. V 407, 3 Walz)

ἐλεγκτικὰ δὲ τὰ κατ' ἔμφασιν μάχης, οἷον οὐ γὰρ ἂν Σόλων μὲν αὐτὸ παρέλιπεν, Αὐτοκλῆς δὲ εὕρετο.

Solonis nomen pro Tyrtaei se intrusisse censet West in Sext. Empir. Adv. math. 6, 9 (III 164 M.) *οἵ τε τῆς Ἑλλάδος ἡγούμενοι καὶ ἐπ' ἀνδρείᾳ διαβόητοι Σπαρτιᾶται μουσικῆς ἀεί ποτε στρατηγούσης αὐτῶν ἐπολέμουν, καὶ οἱ ταῖς Σόλωνος χρώμενοι παραινέσεσι πρὸς αὐλὸν καὶ λύραν παρετάσσοντο ἔρρυθμον ποιούμενοι τὴν ἐνόπλιον κίνησιν*, ubi pro *Σόλωνος* scribendum *τοῦ Ἀθηναίου ἐλεγοποιοῦ* (scil. Tyrtaei) ille conicit. ad rem vid. Wilamowitz, Progr. Gött. 1884, 13 (= Kl. Schr. IV 575s), cuius ex sententia '*οἱ ταῖς Σόλωνος χρώμενοι παραινέσεσι* intelligendi sunt Lydi, quorum rex Croesus Solonis praecepta sero secutus est'.

De plurimis aliis testimoniis, quae apud veteres scriptores inveniuntur, praeter aliqua ab A. Martina nobis comiter indicata (Die Briefe des Anacharsis, griech. u. deutsch von F. H. Reuters, Berlin 1963: Epist. 2; 9, 50, Manuel. Phil. Carm. 1 p. 110, 59s; 2 p. 97, 67 Miller, Alciphr. Epist. 2, 38, 3 p. 56 Schepers) haec nos excerpsimus:

de Solonis dictis memorabilibus cf. Schol. Clem. Alex. Protrept. 3, 43, 4, Sopater in Hermog. *π. τέχν.* (Rhet. Gr. V 20, 23 Walz), Maxim. Plan. in Hermog. *π. στάσεων* (Rhet. Gr. V 234, 10 Walz);

de Solone et Croeso: Favorin. De fort. 5 (255 Barigazzi), Choric. Gaz. Or. 6, 34 (108, 18 Foerst.-Richt.); id., Decl. 3 (185 Foerst.-Richt.), Nicol. Damasc. fr. 67 (Hist. Gr. Min. I 66, 26 Dind.), Clem. Alex. Strom. 3, 16, 1 (= Theodoret. Graec. aff. cur. 5, 12 Raeder), Ps.-Iamblich. Theol. arithm. 21 (26, 7 De Falco), Tertull. Apol. 19, 4;

ad Solonem legum conditorem vel rei publicae moderatorem cf. Philodem. De oecon. 7, 20 (25 Jensen), Theon. Progymn. 12, 51 (Rhet. Gr. I 247, 8 Walz), Hermog. *π. στάσεων* 57 (87 Rabe) et Athanas. Proleg. in eundem (180 Rabe), Favorin. De exil. 21 (399 Barigazzi, vid. adn. ad l.), Menandr. Rhet. *π. ἐπιδεικτικῶν* 620 (Rhet. Gr. IX 243, 12 Walz), Clem. Alex. Strom. 1, 61, 1, Euseb. Demonstr. Ev. 5 Prooemium (204, 26 Heikel), Theodoret. Graec. aff. cur. 9, 12 Raeder, Tertull. Adv. Marc. 2, 17, 3, Augustin. De civ. Dei 18, 25, Gregor. Presbyt. Vit. S. Gregor. Theol. (Patr. Gr. 35, 260 Migne), Sopater in Hermog. *π. στάσεων* 20 et 303 (Rhet. Gr. IV 50, 12; 726, 21 Walz), Marcell. in Hermog. *π. στάσεων* 172 (Rhet. Gr. IV 420, 15 Walz), Michael. Choniat. *προσφώνημα εἰς Δημήτριον* (I 159, 11; 160, 20; 175, 3; 315, 1. 6;

II 81, 26; 93, 24; 192, 25 Lampros); id., Epist. ϱγ' 4 (II 192, 25 Lampros), Niceph. Greg. Epist. 13 (57. 67. 233 Guilland); id., Ad Imp. Andron. II Pal. Orat. I 145 (ap. P. A. Leone, Byzantion 41, 1971, 507), Method. Symp. 8, 16 (108, 8 Bonwetsch), Philastr. Div. Heres. lib. 122, 8, Cosmas Indicopl. 12, 9 (III 371 Wolska-Conus);

praeterea vid. Callim. fr. 191, 74 Pf., Clem. Alex. Strom. 1, 79, 6; 107, 5, Gregor. Naz. Carm. 2, 1, 88, 41, Basil. Hom. 6 in Hexaem. (356 Giet), Origen. Contra Cels. 3, 73 (I 264, 19 Koetschau), Theodoret. Graec. aff. cur. 1, 12; 9, 72 Raeder, Schol. Lucian. Phal. 1, 7, Psell. *κατηγ. τοῦ ἀϱχιεϱέως* I 241 Kurtz-Drexl, Append. Dionys. 307 Consbr. (= Arsen. Viol. 302 Walz), H. Erbse, Fragm. d. griech. Theosophien, Hamburg 1941, 186, 10; 206, 2; 207, 8; 210, 4; 213, 16; 216, 7. 20;

de papyris vid. P. Oxy. 221 (1205 Pack²), 680 (2178 Pack²), quam nuperrime examinavit I. Gallo 29ss, P. Berol. 13045 col. A 1, 9 (I saec. a. C., ed. K. Kunst, Berl. Klassikertexte 7, 17), et P. Hibeh I 182 fr. (e), col. VIII 103 (cf. etiam p. 38 fr. (e) coll. VIII–IX). adde praeterea P. Mediol. I 20, coll. II 4–7 (de exilio), III 27–32 (de Solonis pallio), quae testimonia comiter communicavit F. Lasserre;

de inscriptionibus vid. tabulam archontum Athenis repertam ubi, post [*Φιλ*]*όμβ*[*ϱοτος*], [*Σόλων*] suppl. SEG 21, 1965, 34, n. 96; cf. Plut. Sol. 14, 3 (Solon) *ἡϱέθη δὲ ἄϱχων μετὰ Φιλόμβϱοτον* et McGregor 33.

ΣΟΛΩΝ

Atheniensis saec. VII/VI

ΕΛΕΓΕΙΑ

1 (1 D.)

Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἀγλαὰ τέκνα,
Μοῦσαι Πιερίδες, κλῦτέ μοι εὐχομένῳ·
ὄλβον μοι πρὸς θεῶν μακάρων δότε καὶ πρὸς ἁπάντων
ἀνθρώπων αἰεὶ δόξαν ἔχειν ἀγαθήν·

(I) Stob. 3, 9 (*π. δικαιοσύνης*), 23, III 351 H. *Σόλωνος·* [S 1–76 MA 7–13] ‖ (II) Crates Theb. 1, 1s D. [1–2] ‖ (III) Clem. Alex. Strom. 6, 11, 1 *Εὐμήλου γὰρ ποιήσαντος* (fr. 16 Kink.) *'Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἐννέα κοῦραι' Σόλων τῆς ἐλεγείας ὧδε ἄρχεται·* [1] ‖ (IV) Plut. Sol. 2, 3 [S (uMA =) Y] *πλοῦτον δ' οὐκ ἐθαύμαζεν (ὁ Σόλων), ἀλλὰ καί φησιν ὁμοίως πλουτεῖν ᾧ τε πολὺς ἄργυρός ἐστι ... ἁρμόδια* (fr. 18, 1–6). *ἀλλ' ἑτέρωθι λέγει·* [7–8] ‖ (V) Plut. Publ. 24, 7 (comp. Sol. et Publ. 1, 7) *χρήματα δ' ἱμείρειν μὲν ἔχειν, φησὶν ὁ Σόλων, ἀδίκως δὲ πεπᾶσθαι οὐκ ἐθέλειν ὡς δίκης ἐπιούσης* [7–8] ‖ (VI) Theogn. 585–590 [65–70] ‖ (VII) Stob. 4, 47 (*π. τῶν παρ' ἐλπίδα*), 16, V 1006 H. [SMA] *Θεόγνιδος* (= Anecd. Gr. IV 455s Boisson.)· [65–70] ‖ (VIII) Theogn. 227–232 [71–76] ‖ versum 71 citant etiam Aristot. Pol. 1 p. 1256b 31 (cf. Test. 77), Plut. De cupid. divit. 4 p. 524 e (cf. Test. 81), Basil. Ad adul. 9, 103 (58 Boulenger) (cf. Test. 88) et Gnomol. in cod. Marc. 496 f. 115r (e Basilio)

1 Kaib., Epigr. gr. 1029 a, 1 s (Amorgi) *Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμ[πίου] ἀγλαὰ τέκνα,* Hymn. Orph. 76, 1s (97 Abel) *Μνημοσύνης καὶ Ζηνὸς ἐριγδούποιο θύγατρες, Μοῦσαι Πιερίδες κτλ.* | *Β* 871 *Νομίονος ἀγλαὰ τέκνα* (*λ* 285, *ξ* 223) ‖ 2 Ps.-Hes. Scut. 206 *Μοῦσαι Πιερίδες* (cf. Hes. Op. 1, Sappho 103, 8 L.-P. = 103, 5 Voigt) | Ps.-Hom. Epigr. 12, 1 *κλῦθί μοι εὐχομένῳ,* Theogn. 13 *εὐχομένῳ μοι κλῦθι,* Fragm. mel. adesp. 1018 (b), 3 P. *εὐχομένων ἐπακούσατ(ε)* ‖ 3s *Α* 339 *πρός τε θεῶν μακάρων πρός τε θνητῶν ἀνθρώπων* (*ι* 521, Hymn. Merc. 144, Hymn. Ven. 35, Hes. Cat. fr. 25, 31 Merk.-West) ‖ 4 Theogn. 572 *δόξαν ἔχουσ' ἀγαθῶν* (1004b), Xenophan. 1, 24 *αἰὲν ἔχειν ἀγαθήν*

num id carmen unum ac genuinum sit iamdiu frustra disputatur. de elegiae compositione, veteris artis propria et peculiari, fuse subtiliterque disseruit Groni. 94 ‖ 1ss in universum cf. Hes. Op. 320ss, Theogn. 133ss. 197ss ‖ 2 *μευ εὐχομένου* Valck. ‖ 3–11 ad cynicam doctrinam detorsit Crates 1, 33ss D. ‖ 3s I. G. XIV 652 (= Friedl.-Hoffl. 111, 3 [Metaponti, saec. VI]) *δὸς δέ ϝ' ἰν ἀνθρώποις*

5 εἶναι δὲ γλυκὺν ὧδε φίλοις, ἐχθροῖσι δὲ πικρόν,
τοῖσι μὲν αἰδοῖον, τοῖσι δὲ δεινὸν ἰδεῖν.
χρήματα δ' ἱμείρω μὲν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι
οὐκ ἐθέλω· πάντως ὕστερον ἦλθε δίκη.
πλοῦτον δ' ὃν μὲν δῶσι θεοί, παραγίγνεται ἀνδρί
10 ἔμπεδος ἐκ νεάτου πυθμένος ἐς κορυφήν.
ὃν δ' ἄνδρες τιμῶσιν ὑφ' ὕβριος, οὐ κατὰ κόσμον
ἔρχεται, ἀλλ' ἀδίκοις ἔργμασι πειθόμενος

7 cf. Hesych. πεπᾶσθαι· κεκτῆσθαι || 10 cf. Hesych. πυθμήν· τὸ ὑποκάτω τῆς λεκάνης καὶ παντὸς σκεύους

5s ϑ 21s ὥς κεν ... φίλος ... γένοιτο δεινός τ' αἰδοῖός τε (Γ 172, Σ 394, ξ 234) || 6 χ 405 δεινὸς δ' ... ἰδέσθαι || 8 Preger, Inscr. Gr. metr. 63 ap. Polyb. 4, 33, 3 πάντως ὁ χρόνος εὗρε δίκην || 11 Theogn. 189 χρήματα γὰρ τιμῶσι (523) || 11s Θ 12 οὐ κατὰ κόσμον ἐλεύσεται (οὐ κ. κ. Β 214, υ 181), Phocyl. 11, 2 σὺν κόσμῳ στείχοντες (4, 2) || 12 Theogn. 380 ἀνθρώπων ἀδίκοις ἔργμασι πειθομένων (948)

δόξαν ἔχειν ἀ(γ)αθ⟨ά⟩ν contulerunt Heinem. 37, Wil., S. u. S. 259; cf. etiam σ 19, Hymn. Hom. 15, 9, Anth. P. 6, 346, 3 (= Anacr. °196, 4 Gent.) || 3 ἐμοὶ Br.

5s cf. Archil. 54, 14s Tard. = 35, 10s Lass. ἐπίσταμαί τοι τὸν φιλέοντα μὲν φιλέειν, τὸν δ' ἐχθρὸν ἐχθαίρειν τε καὶ κακο[, 104 Tard. = 120 Lass., Theogn. 871s, Sappho 5, 6s L.-P. = 5, 6s Voigt, Pind. Pyth. 2, 83s al. (cf. etiam ζ 184s) || 5 ad ὧδε = ὥς cf. v. 33, fr. 29, 4, Tyrt. °14, 10 et Führer 37, adn. 14 | scribimus φίλοις non, ut solent (Hiller alii), φίλοισ'; non notabitur amplius || 7s cf. Theogn. 146 πλουτεῖν ἀδίκως χρήματα πασάμενος, Cratet. 1, 6 D. χρήματα δ' οὐκ ἐθέλω συνάγειν κλυτά (Hes. Op. 320, Theogn. 743, Ps.-Phocyl. 5, Scol. Att. 7, 3 D. al.) || 7 δὲ πειρῶ (IV) S (sed in mg. corr.) | ad πεπᾶσθαι pro κεκτῆσθαι a Megarensibus et Boeotis mutuatum cf. Wil., Herakl. 1426 || 8 cf. vv. 28s et 3, 16; 14; 30, 3 | πάντων (ὕστερος) Grot. πάντως δ' dub. West | ad πάντως a Solone adamatum (cf. 1, 28. 31. 42. 55; 3, 16. 28) vid. Jaeger, Eunomie 329, adn. 2 et H. Fränkel, Dicht. 255 | post πάντως interpungit (I) M, accepit Bach | Δίκη Bach || 9s cf. Theogn. 197s χρῆμα δ' ὃ μὲν Διόθεν καὶ σὺν δίκῃ ἀνδρὶ γένηται καὶ καθαρῶς, αἰεὶ παρμόνιμον τελέθει et J. Kroll, Theognis-Interpr. 201 || 9 πλοῦτον in -ος corr. (I) M, receperunt Geisf., Bach || 10 ad πυθμ. metaphoram cf. Wil., Ar. u. Ath. 259 | ἐς recc. εἰς (I) || 11 τιμῶσιν (I): deff. Römisch (coll. Theogn. 189) et Björck (coll. inepte Plat. Rep. 364a) μετίωσιν coni. Ahr. (probb. edd. plerique) τέτμωσιν Sitzl. τίλλωσιν Oliver (Am. Journ. of Philol. 82, 1961, 92), alii aliter | ante ὑφ' ὕβριος interpungit (I) M et sic edd. plerique (exinde a Tr.[ed] usque ad Herm.); de ὑπό vi causali cf. 3, 8 et Weigel 168 | ad κόσμ. cf. Diller 57ss || 11s cf. Theogn. 677 χρήματα δ' ἁρπάζουσι βίῃ· κόσμος δ' ἀπόλωλεν (Pind. Pyth. 3, 105 contulit H. Fränkel, Dicht. 367, adn. 32) || 12 ἔρχεται om. Voss. gr. O 9 (saec. XV) | cf. 3, 11 || 12s cf. Bacchyl. 1, 60 πλοῦτος δὲ καὶ δειλοῖσιν ἀνθρώπων ὁμιλεῖ

οὐκ ἐθέλων ἕπεται, ταχέως δ' ἀναμίσγεται ἄτη·
  ἀρχὴ δ' ἐξ ὀλίγου γίγνεται ὥστε πυρός,
φλαύρη μὲν τὸ πρῶτον, ἀνιηρὴ δὲ τελευτᾷ· 15
  οὐ γὰρ δὴν θνητοῖς ὕβριος ἔργα πέλει,
ἀλλὰ Ζεὺς πάντων ἐφορᾷ τέλος, ἐξαπίνης δέ
  —ὥστ' ἄνεμος νεφέλας αἶψα διεσκέδασεν
ἠρινός, ὃς πόντου πολυκύμονος ἀτρυγέτοιο
  πυθμένα κινήσας, γῆν κατὰ πυροφόρον 20
δηώσας καλὰ ἔργα, θεῶν ἕδος αἰπὺν ἱκάνει
  οὐρανόν, αἰθρίην δ' αὖτις ἔθηκεν ἰδεῖν·
λάμπει δ' ἠελίοιο μένος κατὰ πίονα γαῖαν
  καλόν, ἀτὰρ νεφέων οὐδὲν ἔτ' ἔστιν ἰδεῖν —

13 *Δ* 300 *οὐκ ἐθέλων* (*Ψ* 88, Archil. 8, 2 Tard. = 13, 2 Lass.) || **16** *υ* 155 *οὐ γὰρ δὴν* (in initio versus) | Mimn. 8, 12 *πενίης δ' ἔργ(α) . . . πέλει* (Xenophan. 2, 18) || **18s** *E* 525s . . . *ἀνέμων, οἵ τε νέφεα . . . διασκιδνᾶσιν* (*P* 649, *ε* 368, Hes. Theog. 873ss) || **19** Empedocl. 31 B 38, 3 D.-K. *πόντος πολυκ.* | *ε* 140 *πόντον ἐπ' ἀτρύγ.* (al.) || **20** *M* 314 *ἀρούρης πυροφόροιο* (*Ξ* 123, *Φ* 602 al.) || **21** *Ξ* 518 *δηώσας* (in initio versus) | *E* 868 *ἵκανε θεῶν ἕδος, αἰπὺν Ὄλυμπον* (367, Hymn. Ap. 109) || **23** Pind. 129, 1 Sn.-Maehl. *λάμπει . . . μένος ἀελίου* | *Ψ* 190 *μένος ἠελίοιο* (*κ* 160, Hymn. Ap. 371)

13ss ad rem cf. Sn., Entd. 282s || **13** cf. Hes. Op. 222 *ἡ* (i. e. *Δίκη*) *δ' ἕπεται κλαίουσα* (Hymn. Hom. 30, 12) | *ταχέως τ'* Blaydes, Adversaria 64 | *ἀναμίγνυται* Voss., corr. in mg. | *ἄτῃ* (I) (ex *αὔτῃ*, ut vid., A) *ἄτη* Regin. gr. 146 (saec. XVI), f. 9r aliique recc., acceperunt Cam., Steph. alii (nuper etiam West), sed nominativus praeferendus quia '*ἀναμίσγεσθαι* is properly used of joining a group' (Linforth 231), cf., ex. gr., Theogn. 961 *ὕδωρ δ' ἀναμίσγεται οὔδει* (defenderat *ἄτῃ* iam Schenkl, Gött. gel. Anz. 1895, 481, coll. *E* 505 al.) | Rost 819 non inepte Theogn. 230 *χρήματά τοι θνητοῖς γίγνεται ἀφροσύνη* (cf. 1, 74 in adn.) contulit || **14** *ἀρχῆς δ' ἐξ ὀλίγης* West *ἀρχὴν δ' ἐξ ὀλίγου* Arnott ap. eundem, fortasse recte, nam displicet *ἀρχὴ . . . τελευτᾷ*, ut animadverterat Wil. (S. u. S. 259) *ἄτη δ' ἐξ ὀλ.* Schenkl l. c. || **14s** cf. v. 59 et Pind. Pyth. 3, 36s || **14—76** om. (I) MA || **15** *ἀνιε. ῥῆ* (I) S: corr. Voss. || **16** *δην* Paris. 1985 (saec. XVI), f. 49r et Regin. gr. 146 *δὴ* (I), def. perperam Büchner | ad *ὕβρ. ἔ.* cf. v. 41; 3, 37 et Hes. Op. 238 *ὕβρις . . . κακὴ καὶ σχέτλια ἔργα* | post *πέλει* leniter interpungit Hart., plene edd. plerique || **17** cf. *ν* 213s *Ζεὺς . . . καὶ ἄλλους ἀνθρώπους ἐφορᾷ* (Semon. 1, 1s, Archil. °187 Tard. = 223 Lass., Alcm. 1, 83s P., Pind. Ol. 13, 104s al.) || **19** de *ἠριν.* traiectione vid. ad v. 45 | *πολυκ.* novum || **20** cf. 18, 2 *γῆς πυροφ.* || **21** Homericum *δηοῦν* notione nova ('vastare, populari') hic adhibitum || **22** cf. *P* 645s *Ζεῦ πάτερ . . . ποίησον δ' αἴθρην, δὸς δ' ὀφθαλμοῖσιν ἰδέσθαι* | *αἰθρίη* novum | *αὖθις* (I): corr. Bach, auctore Heinrich (sic semper scribimus, etsi mss. sibi non constant, cf. v. 31 ubi ΑΥΤΙϹ in ΑΥΤΙΚ antiquitus corruptum epicam scripturam probat) | *ἔδωκεν* Vallic. gr. E 21 (saec. XVI), f. 213b || **23** *κατὰ γαῖαν* (om. *πίονα*) Voss. *κατ' ἀπείρονα* B m. sec., acceperunt Br., Schndw. alii || **24** *οὐδ' ἓν* West

25 τοιαύτη Ζηνὸς πέλεται τίσις, οὐδ' ἐφ' ἑκάστῳ
ὥσπερ θνητὸς ἀνὴρ γίγνεται ὀξύχολος,
αἰεὶ δ' οὔ ἑ λέληθε διαμπερές, ὅστις ἀλιτρόν
θυμὸν ἔχει, πάντως δ' ἐς τέλος ἐξεφάνη·
ἀλλ' ὁ μὲν αὐτίκ' ἔτεισεν, ὁ δ' ὕστερον· οἳ δὲ φύγωσιν
30 αὐτοί, μηδὲ θεῶν μοῖρ' ἐπιοῦσα κίχῃ,
ἤλυθε πάντως αὖτις· ἀναίτιοι ἔργα τίνουσιν
ἢ παῖδες τούτων ἢ γένος ἐξοπίσω.
θνητοὶ δ' ὧδε νοεῦμεν ὁμῶς ἀγαθός τε κακός τε,
†ἐν δηνην† αὐτὸς δόξαν ἕκαστος ἔχει,
35 πρίν τι παθεῖν· τότε δ' αὖτις ὀδύρεται, ἄχρι δὲ τούτου
χάσκοντες κούφαις ἐλπίσι τερπόμεθα.

30 Phot. Lex. I 341 Naber κιγχάνειν· τὸ ἐπεξιέναι. οὕτως Σόλων

25 Alcm. 1, 36 P. ἔστι τις σιῶν τίσις || 27 Ψ 323 αἰεὶ . . . οὐδέ ἑ λήθει (Hes. Op. 268) | Ο 70 αἰὲν . . . διαμπερές || 33 θ 63 ἀγαθόν τε κακόν τε (δ 237. 392), Hes. Op. 669 ὁμῶς ἀγαθῶν τε κακῶν τε (Theog. 906), Theogn. 369 ὁμῶς κακοὶ ἠδὲ καὶ ἐσθλοί || 34 Theogn. 898 οἷον ἕκαστος ἔχει (214. 312) || 35 Ρ 32 πρίν τι κακὸν παθέειν (Ε 567, Hes. Op. 218 al.)

25s ad deorum indolem vid. Dodds, The Greeks and the Irrational 42; ad rem cf. Δ 160s, Hes. Op. 282ss, Theogn. 203ss (vid. infra ad vv. 29ss) || 26 ὀξύχολος novum || 27 οὔτε (I): corr. Herm. coll. Ω 214 (cf. etiam Ψ 323) (ἀλλά) ἑ οὔτε Wytt. οὔχ ἑ Kal., alii alia | λέλ. perfecti forma hic primum invenitur (cf. et Semon. 7, 9) || 28 cf. Hes. Op. 217s δίκη δ' ὑπὲρ ὕβριος ἴσχει ἐς τέλος ἐξελθοῦσα (al.) | ἔχῃ Bgk., probb. edd. plerique | πάντων Regin. 146 gr., f. 9v παντὸς Venet. Marc. IV 29 (saec. XV/XVI) || 29ss ad rem cf. Δ 160s εἴ περ γάρ τε καὶ αὐτίκ' Ὀλύμπιος οὐκ ἐτέλεσσεν, ἔκ τε καὶ ὀψὲ τελεῖ, σύν τε μεγάλῳ ἀπέτεισαν (ν 143s, Hes. Op. 282ss. 333s, Theogn. 205ss. 731ss al.) || 29 ἔτισεν: corr. Hi., Hense (cf. v. 76 et Meisterhans Gramm. d. att. Inschriften[3] 180) | οἳ Voss. et Tr. plerique οἱ (I) εἰ Vallic. gr. E 21, acceperunt Gesn., Bgk. alii ἢν recc. aliquot (Boisson., Br., Bach) || 30 cf. Callin. 1, 15 cum adn. || 31 post ἤλυθε vel πάντως distinguunt codd.: corr. Wytt. et Gerhard (Lect. Apollon., Lipsiae 1816, 214) | αὐτίκ' (I): corr. Br. (αὖθις Wytt.) ἄτη Ahr. | ἀναίτιοι recc., receperunt Wint., Br. (ex coni.) et edd. plerique ἀναίτια (I), retinuerunt Tr.ed et edd. priores (ἀναίτιά τ' Cam. alii ἀναίτια δ' Sylb., Herm.) || 32 cf. Tyrt. 6, 12 cum adn. | ἢ γένος ἐξ. Paris. 1985 m.[2] in mg., recepit Br. (coniecerat antea Pierson, Veris. 189, coll. Tyrt. 6, 12) ἡγεμόνων ὀπίσω (I), retinuerunt edd. priores ἢ γενεῶν ὀπίσω Linder, alii alia || 33 cf. σ 136 τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων | νοέομεν (et 45 φορεόμ-) West || 34 ἐν δηνην (I), sed ἐν δὴν ἣν explic. m. rec. δεινὴν ἣν Regin. gr. 146, f. 10r δεινὴν εἷς (αὐτοῦ) suprascr. Paris. 1985 m.[2] ἐσθλὴν ἣν Cam., Steph. εὖ ῥεῖν εἷς Schndw., Beitr. 71 (εὖ ῥεῖν ἣν Büchner) εὖ δεινὴν Büch. (probb. Cr., D. aliique multi) ἐν δὴν ἣν def. Kal. ('intus diu suam quisque opinionem habet') ἥνδανεν ἣν Valck. εὐθηνεῖν Ahr. δηνεύειν Bgk.[4] ἔρδων ἣν Ziegler (-ειν ἣν Römisch) εὖ δρᾶν ἣν Allen σπεύδειν ☐ ἣν Reinhardt ἔνδον ἣν Lattimore. ad rem cf. Wil., S. u. S. 260 || 35 αὖ τις

χὤστις μὲν νούσοισιν ὑπ' ἀργαλέῃσι πιεσθῇ,
ὡς ὑγιὴς ἔσται, τοῦτο κατεφράσατο·
ἄλλος δειλὸς ἐὼν ἀγαθὸς δοκεῖ ἔμμεναι ἀνὴρ
καὶ καλὸς μορφὴν οὐ χαρίεσσαν ἔχων· 40
εἰ δέ τις ἀχρήμων, πενίης δέ μιν ἔργα βιᾶται,
κτήσεσθαι πάντως χρήματα πολλὰ δοκεῖ.
σπεύδει δ' ἄλλοθεν ἄλλος· ὁ μὲν κατὰ πόντον ἀλᾶται
ἐν νηυσὶν χρῄζων οἴκαδε κέρδος ἄγειν
ἰχθυόεντ' ἀνέμοισι φορεύμενος ἀργαλέοισιν, 45
φειδωλὴν ψυχῆς οὐδεμίαν θέμενος·

41 cf. Hesych. *ἀχρήμων· πένης καὶ αὐτάρκης*

37 *N* 667 *νούσῳ ὑπ' ἀργαλέῃ φθίσθαι* (Hes. Op. 92, Ps.-Hes. Scut. 43) || 38 Theogn. 430 *τοῦτό γ' ἐπεφράσατο* (706, in altero pentam. hemistichio) || 39 *Ψ* 470 *ἔμμεναι ἀνήρ* (*Z* 488, *ζ* 200 al., in fine versus) || 41 Mimn. 8, 12 *πενίης δ' ἔργ' ὀδυνηρὰ πέλει* || 42 Theogn. 186 *χρήματα πολλὰ διδῷ* (in altero pentam. hemistichio) || 43 *ι* 401 *ἐφοίτων ἄλλοθεν ἄλλος* | *ε* 377 *ἀλόω κατὰ πόντον* || 43ss *γ* 73s *ἀλόωνται ψυχὰς παρθέμενοι* (*ι* 253ss) | *ι* 82s *φερόμην ὀλοοῖς ἀνέμοισι πόντον ἐπ' ἰχθυόεντα* || 44 *κ* 35 *χρυσόν τε καὶ ἄργυρον οἴκαδ' ἄγεσθαι*, Hes. Op. 632 *ἵν' οἴκαδε κέρδος ἄρηαι* || 45 *ἀνέμ. . . . ἀργ.* Hom. || 46 Theogn. 364 *μηδεμίαν θέμενος* (cf. 152, in pentam. exitu)

Schndw. *αὐτίκ'* Bgk., Bamberger, Linforth alii || 36 ad rem cf. Bacchyl. 1, 178s, Hes. Op. 58. 498, Semon. 1, 6ss, Simon. fr. dub. 8, 7 West, Pind. Nem. 8, 45 | *τερπό-* supra *τρεφό-* (I)

37–42 secl. Immisch (37–40 Bernh.) || 37 *χόστις* (I): corr. Steph. (*χ' ὥστις* Voss.) | *ὑπαργαλέῃσι* (I) S: explic. Voss. et Vallic. gr. E 21 *ὑπ' ἀργαλέης ἐπιέσθη* Br. || 37s cf. v. 61 || 38 ad insuetam verborum collocationem, qua enuntiatum secundarium primario praecedit, cf. Weigel 180 || 39s deleverunt Sylb., Wil., Ed. Fraenkel alii (defenderunt antea Schmidt et Leutsch, deinde Friedl., Lattimore, H. Fränkel, alii). de *ἔμμεναι* et *κᾱλός* dubitat Wil. || 40 *καλλὸς* (I): corr. recc. | post *μορφὴν* interpungunt recc. aliquot || 41s cf. Theogn. 662s *καί τε πενιχρὸς ἀνὴρ αἶψα μάλ' ἐπλούτησε* || 41 *ἀχρήμων* novum || 42 *κτήσεσθαι* dub. Sylb., probb. Bgk. et Bamberger (Coniect. crit. 175) *-σασθαι* (I), deff. Schndw., Ahr., Stoll (coll. non bene *β* 280), West alii, sed ad fut. post *δοκέω* cf. 29, 4; 29b, 2 | *πάντων* (I): corr. Gesn.[1] in mg. | *πλεῖστα* Regin. gr. 146 (sed corr. supra lineam), accepit Bgk.[1] || 42ss Bacchyl. fr. 20 B, 12ss contulit Ed. Fraenkel || 43ss ad rem cf. *N* 730ss, Theogn. 179s, Pind. Isthm. 1, 47ss (Ol. 8, 13ss, Nem. 1, 25, fr. 221 Sn.-Maehl.), Bacchyl. 10, 35ss al. || 43 *ἄλλ. ἄλλ.* cf. Tyrt. 8, 35 cum adn. || 44ss de participiis cumulatis vid. H. Fränkel, Wege 75s, Römisch 47s. 70s et infra ad vv. 50ss || 45 ad *ἰχθ.* traiectionem cf. Sol. 1, 18s; 3, 1–2; 29, 3–5, Mimn. 5, 5–8 || 46 cf. Tyrt. 6, 14 cum adn. | *οὐδεμίαν* Schndw. *οὐδὲ μίην* (I) *οὐδεμίην* Voss., Regin. gr. 146 aliique recc., acceperunt Hense alii

ἄλλος γῆν τέμνων πολυδένδρεον εἰς ἐνιαυτόν
λατρεύει, τοῖσιν καμπύλ' ἄροτρα μέλει·
ἄλλος Ἀθηναίης τε καὶ Ἡφαίστου πολυτέχνεω
50 *ἔργα δαεὶς χειροῖν ξυλλέγεται βίοτον,*
ἄλλος Ὀλυμπιάδων Μουσέων πάρα δῶρα διδαχθείς,
ἱμερτῆς σοφίης μέτρον ἐπιστάμενος·
ἄλλον μάντιν ἔθηκεν ἄναξ ἑκάεργος Ἀπόλλων,
ἔγνω δ' ἀνδρὶ κακὸν τηλόθεν ἐρχόμενον,
55 *ᾧ ξυνομαρτήσωσι θεοί· τὰ δὲ μόρσιμα πάντως*
οὔτε τις οἰωνὸς ῥύσεται οὔθ' ἱερά·
ἄλλοι Παιῶνος πολυφαρμάκου ἔργον ἔχοντες
ἰητροί, καὶ τοῖς οὐδὲν ἔπεστι τέλος·

48 cf. HESYCH. *λατρεύει· ἐλεύθερος ὢν δουλεύει.*

47 *ψ* 139 *ἀγρὸν ... πολυδένδρεον* (359) | *Φ* 444 *θητεύσαμεν εἰς ἐνιαυτόν* || 48 Hymn. Cer. 308 *καμπ. ἄρ.* || 49s *ζ* 233s *ὃν Ἥφαιστος δέδαεν καὶ Παλλὰς Ἀθήνη τέχνην παντοίην* (*ψ* 160s), Hymn. Hom. 20, 5 *νῦν δὲ δι' Ἥφαιστον κλυτοτέχνην ἔργα δαέντες* (Peek, G. V. 573, 1 [Pataris, saec. II/III], Hes. Cat. fr. 43a, 71 Merk.-West) || 50 *δ* 90 *βίοτον συναγείρων*, Eur. fr. 286, 14 N.[2] *χειρὶ συλλέγοι βίον* || 51s Archil. 1, 2 Tard. = 8, 2 Lass. *Μουσέων ἐρατὸν δῶρον ἐπιστάμενος*, Anacr. 56, 3 Gent. *Μουσέων τε καὶ ἀγλαὰ δῶρ' Ἀφροδίτης* (Alcm. 59(b), 1s P., Theogn. 250) || 51 *Β* 491 *Ὀλ. Μοῦσαι*, Hes. Theog. 25 *Μοῦσαι Ὀλ.* (52. 966. 1022) | *θ* 488 *σέ γε Μοῦσ' ἐδίδαξε* (481) || 52 Theogn. 876 *μέτρον ἔχων σοφίης*, Kaib., Epigr. Gr. 1093, 2 (Bovillis) *ὄφρα δαεὶς πάσης μέτρον ἔχῃς σοφίας* (Hes. fr. 306 Merk.-West) || 53 *ο* 252s *μάντιν Ἀπόλλων θῆκε* || 54 *υ* 367s *νοέω κακὸν ὔμμιν ἐρχόμενον* (Hymn. Cer. 256s) || 57 *Ε* 401 *Παιήων ... φάρμακα πάσσων* (Hes. fr. 307 Merk.-West) || 57s *Π* 28 *ἰητροὶ πολυφάρμακοι* || 58 Theogn. 660 *θεοὶ ... οἷσιν ἔπεστι τέλος*


19 1s cf. Bacchyl. 5, 53s, Pind. Nem. 7, 55s al. || 1 μάκαρς Steph., Bgk. alii μάκαρ γ' dub. Hart., sed ad μάκᾱρ cf. Hippon. 43 et *117, 6 West (52 et *183, 5 Med.) et Mimn. 5, 1 adn. | πονηροί (-ροι S) codd., accentum -ροί probat Herodian. Π. καθολ. προσ. I 197, 12 Lentz (cf. etiam Phot. Lex. I 99 Naber πόνηρος, Suda s. v. μοχθηρός, Et. Gud. 475, 29 Sturz, Et. M. 682, 26ss) πόνηροι Grot., probb. Bgk., D. alii || **20** 1 γνωμοσύνη hapax | ἀφανές suspectum Fraccaroli, sed cf. fr. 21 || 2 ad μέτρον cf. 1, 52 cum adn. | πάντα (II) || **21** ad rem cf. Hes. Op. 483s ἄλλοτε δ' ἀλλοῖος Ζηνὸς νόος αἰγιόχοιο, ἀργαλέος δ' ἄνδρεσσι καταθνητοῖσι νοῆσαι (fr. 303 Merk.-West), Pind. fr. 61, 3s Snell-Maehl. οὐ γὰρ ἔσθ' ὅπως τὰ θεῶν βουλεύματ' ἐρευνάσει βροτέᾳ φρενί, Xenophan. 35, 1s, Herodt. 2, 3, 2 al. | πάντῃ (I) πάμπαν (II), recepit Br.

22 (18 D.)

εἰπέμεναι Κριτίᾳ ξανθότριχι πατρὸς ἀκούειν·
οὐ γὰρ ἁμαρτινόῳ πείσεται ἡγεμόνι.

23 (19 D.)

Παῖς μὲν ἄνηβος ἐὼν ἔτι νήπιος ἕρκος ὀδόντων
φύσας ἐκβάλλει πρῶτον ἐν ἕπτ' ἔτεσιν.
τοὺς δ' ἑτέρους ὅτε δὴ τελέσῃ θεὸς ἕπτ' ἐνιαυτούς,
ἥβης ἐκφαίνει σήματα γιγνομένης.

22 (I) PROCL. in Plat. Tim. p. 20e (I 81s D.) *Ἐξηκεστίδου παῖδες ἐγένοντο Σόλων καὶ Δρωπίδης, καὶ Δρωπίδου μὲν Κριτίας, οὗ μνημονεύει καὶ Σόλων ἐν τῇ ποιήσει λέγων·* [1–2] | cf. SCHOL. Plat. ad l. (280 Greene) || (II) ARISTOT. Rhet. 1 p. 1375b 31ss *καὶ Κλεοφῶν κατὰ Κριτίου τοῖς Σόλωνος ἐλεγείοις ἐχρήσατο, λέγων ὅτι πάλαι ἀσελγὴς ἡ οἰκία· οὐ γὰρ ἄν ποτε ἐποίησε Σόλων·* [1]. quae praecedunt vid. ad Test. 78 || (III) ANONYM. ad l. (Comment. in Aristot. Gr. XXI 81, 15ss Rabe) *εἰ γὰρ μὴ ἀσελγὴς ἦν, οὐκ ἂν ὁ Σόλων ἐποίησεν ἤτοι ποιητικῶς εἶπε τό·* [1]. *ᾗ μὲν γὰρ εἶπεν αὐτὸν πυρότριχα, ὡς γυναικώδη τοῦτον ἀπέσκωψεν, ᾗ δὲ εἶπεν αὐτὸν πατρὸς ἀκούειν, ὡς πατραλοίαν καὶ τοῦ πατρὸς παρακούειν ἐδήλωσεν* || cf. Test. 21; 22; 78; 79 || 23 (I) PHILO ALEX. Opif. mundi 104 (I 36, 8ss Cohn) [M AB FG H] *τὰς ἡλικίας ταύτας ἀνέγραψε καὶ Σόλων ὁ τῶν Ἀθηναίων νομοθέτης ἐλεγεῖα ποιήσας τάδε·* [1–18] || (II) CLEM. ALEX. Strom. 6, 144, 3 *τάς τε τῶν ἡλικιῶν μεταβολὰς κατὰ ἑβδομάδα γίνεσθαι Σόλωνος αἱ ἐλεγεῖαι δηλοῦσι ὧδέ πως·* [1–18]. cf. Test. 87 || (III) ANECD. Paris. I 46, 6 Cramer *ἡρωελεγεῖα Σόλωνος πρὸς περίστασιν ἡλικιῶν·* [1–18] || (IV) ANATOL. *π. δεκάδος* 37 Heiberg (Ann. intern. d'histoire. Congrès de Paris 1900, 5ᵉ section) [M et H a West primum collatus] *καὶ δι' ἑπτὰ ἐνιαυτῶν μεταβαίνομεν ἐκ μὲν παιδὸς εἰς ἔφηβον, ἐκ δὲ ἐφήβου εἰς μείρακα, καὶ ἐπὶ τῶν ἑξῆς ἡλικιῶν ὁμοίως. λέγει δὲ περὶ τούτων Σόλων·* [1–18] || (V) APOSTOL. 14, 94 (Paroem. Gr. II 626, 4, e Philone pendens) [1–18]

22 1 *Ξ* 501 *εἰπέμεναί μοι* (in hexam. ineunte) || 2 Tyrt. 10, 19 *πεισόμεθ' ἡγεμ[* || 23 1 *τ* 530 *παῖς ... ἕως μὲν ἔην ἔτι νήπιος* | *Δ* 350 *ἕρκος ὀδόντων* (*Ι* 409 al., in hexam. exeunte) || 3 *σ* 134 *ὅτε δὴ ... θεοὶ ... τελέσωσιν* (*θ* 570) || 4 *Β* 353 *σήματα φαίνων* (*Δ* 381, *φ* 413, Hymn. Hom. 7, 46, Hes. Cat. fr. 141, 25 Merk.-West)

22 1 *εἰπέμεναι* (I) CP *εἰπέμεν* (I) N *εἰπεῖν μοι* (II), acceperunt edd. plerique *εἰπεῖν τῷ* (III) | *Κριτίῃ* (I), praetulerunt edd. plerique, sed Attica terminatio hic servanda est | *πυρρότριχι* (II) retinuerunt Bach, D., Sn. alii *τῷ πυρ-* (III) | *ξανθότριξ* novum || 23 Soloni abiudicaverunt Porson (Tracts and Miscellaneous Criticism 207), Gaisf., Us. (Altgr. Versbau 52) alii, obloqu. Wil., Ar. u. Ath. 314s || ad rem cf. Roscher 15ss, 91ss, Boll 114ss et J. Mansfeld, The Pseudo-Hippocratic Tract *περὶ ἑβδομάδων* ch. 1–11 and Greek Philosophy, Assen 1971, 161ss || 1 *ἄνηβος* novum || 2 *ἕπτ' ἂν ἔτ.* pro *ἐν ἕπτ' ἔτ.* (III) || 3 *τελέσῃ* (I) FG et (IV) H *-ει* (I) codd. rell. et (II) (III) (IV) M (V) || 4 *ἐκφαίνει* (I) codd. omnes (praeter M, ubi *δὴ φαίνει*) et (V) *δὲ φανείσης* (II) *δὲ φαίνει* (III) *δ' ἐφάνει* (IV) H *δ' ἐφάνη* (IV) M †*δὲ φάνει*† West | *σπέρματο* (II), accepit Bach *τέρ-*

5 τῇ τριτάτῃ δὲ γένειον ἀεξομένων ἔτι γυίων
λαχνοῦται, χροιῆς ἄνθος ἀμειβομένης.
τῇ δὲ τετάρτῃ πᾶς τις ἐν ἑβδομάδι μέγ' ἄριστος
ἰσχύν, ἥν τ' ἄνδρες σήματ' ἔχουσ' ἀρετῆς.
πέμπτῃ δ' ὥριον ἄνδρα γάμου μεμνημένον εἶναι
10 καὶ παίδων ζητεῖν εἰσοπίσω γενεήν.
τῇ δ' ἕκτῃ περὶ πάντα καταρτύεται νόος ἀνδρός,
οὐδ' ἔρδειν ἔθ' ὁμῶς ἔργ' ἀπάλαμν' ἐθέλει.

6 cf. Hesych. *λαχνοῦται· τριχοῦται. δασύνεται* || 12 cf. Hesych. *ἀπάλαμνος· ἀσθενής. ἀμήχανος* || vid. paraphrasin carminis ap. Censorin. De die natali 14, 7 (Test. 84), Clem. Alex. Strom. 5, 108, 1 (Test. 87 et vid. Ambros. Epist. 31 (44), 13). cf. etiam Macrob. in Somn. Scip. 1, 6, 70ss, Hippocr. Hebd. 5 (ed. West, Class. Quart. 21, 1971, 369), Procl. in Plat. Remp. (II 172, 11 Kroll), Ps.-Iamblich. Theol. arithm. 42 (55, 13 De Falco)

5 *λ* 319s *πρίν ... πυκάσαι ... γένυς ἐυανθέι λάχνῃ* | Hes. Theog. 492s *γυῖα ηὔξετο* || 6 Aesch. Pro. 23 *χροιᾶς ἀμείψεις ἄνθος* || 7 *Π* 271 *μέγ' ἄριστος* (*P* 164 al., in hexam. exeunte) || 7s *θ* 116 *ὃς ἄριστος ἔην εἶδός τε δέμας τε* (*λ* 469) || 8 Theogn. 1178 *πεῖραν ἔχοις ἀρετῆς*, Pfohl, Gr. Poems on Stones I 36, 2 *πᾶσαν hέχοντ' ἀρετέν* (Athenis, circa 530), Peek, G. V. 335, 2 *π. ἔχ[ουσ' ἀρ.]* (Attic., saec. IV a. C.) || 9 Hes. Op. 616 *ἀρότου μεμνημένος εἶναι* (641) || 10 Hymn. Ven. 104 *εἰσοπίσω θαλερὸν γόνον*

ματα coni. Schndw., at cf. v. 8 | *γιγν-* (I) **M** *γειν-* (I) **FGH** et (III), retinuerunt Bgk., Stählin, West alii *γιν-* (I) **AB** et (II) sed *-μένων*, et (IV) (V)
5 *τρίτῃ* (III) | *γένεια* (I) **AB** et (V) *γένει* (III) | *ἀεξόμενον* (I) | *ἔτι* Emp. et Bgk. *ἐπὶ* codd., acceperunt Br., Bach et dub. D. | *γυῶν* (I) **M** *γύων* (I) **AB** *γυιῶν* (III) *γενύων* (II) || 6 cf. Lucr. 5, 888s *tum demum pueris aevo florente iuventas occipit, et molli vestit lanugine malas* | *λαχνοῦνται* (I) **AB** | *λαχνοῦσθαι* novum | *χροιῆς* ex *χροῆς* (II) *χνοιεὶς* (IV) **H** || 7 *πᾶς τις ἐν ἑβδομάδι μέγ' ἄριστος* (II) *παῖς τις ἐν ἑβδομάδεσσιν ἄριστος* (I) **FG** et **H**, ubi omittitur *τις*, (III) et, sed *-δεσιν*, (IV) *πᾶσιν ἑβδομάδεσιν ἄριστος* (I) **M** *παῖς τις ἐν ἑβδόμασιν ἄριστος* (I) **AB** et (V) *ἐν ἑβδομάδ' ἐστιν ἄριστος* Sylb. alii | ad *-μάδι μ̄εγ'* cf. Chantraine, Gr. Hom. I 104s. 176ss et Mimn. 5, 1 adn. (vid. etiam p. XI) | cf. v. 13 || 8 nota *ἰσχύ̄ν* | *ἥν τ'* (II): corr. Sylb. *ἥ τ'* (I) **MHF**[1]**G**[1] *ἧ τ'* (I) **ABF**[2]**G**[2] et (V) *ᾗ τ'* (III) (IV), retinuit West | de epico *τε* cf. C. J. Ruijgh, Autour de *τε* épique, Amsterdam 1971, 351ss | *σήματ'* (I) codd. omnes (praeter **M** ubi *ἀνδρὸς μνήματ'*) et (II) (III) (V) *ἥμετ* (IV) **H** *μετ'* (IV) **M** *πείρατ'* Stadtm., prob. West *σῆμά γ'* Mayor *σῆμα* (*φέρουσ'*) Bach | *ἀρετᾶς* (I) **AB** et (IV) (V) || 9 *ὥρῃ* vel *ὥρῃ* (I) **AB** et (V) *ὡρίου* Bgk.[1.3.4] (obloqu. Ahr. 837) || 10 cf. Tyrt. 9, 30 cum adn. | *ἐξοπίσω* (I) (III) (V), retinuit Cohn ('fortasse recte' D., qui 1, 32 confert) || 11 *κατὰ* pro *περὶ* (III) | *καταρτύνεται* (I) **AB** (V) *καρτύνεται* (II) *κατήρτυται* Rich. coll. Plat. Leg. 808d || 12 *ἐν δ' ἔρδειν* (III) *οὐδ' ἐσιδεῖν* (II) | *ὅμως* (I) **H** (III) | *ὁμοίως ἔργα μάταια* (II) | *ἐθέλει* (V) *θέλει* codd. reliqui et omnes edd., sed Solo praetulit semper *ἐθέλειν* (cf. 1, 8. 13; 3, 27; 29[a], 5; 30, 22)

ἑπτὰ δὲ νοῦν καὶ γλῶσσαν ἐν ἑβδομάσιν μέγ' ἄριστος
  ὀκτώ τ'· ἀμφοτέρων τέσσαρα καὶ δέκ' ἔτη.
τῇ δ' ἐνάτῃ ἔτι μὲν δύναται, μαλακώτερα δ' αὐτοῦ 15
  πρὸς μεγάλην ἀρετὴν γλῶσσά τε καὶ σοφίη.
τὴν δεκάτην δ' εἴ τις τελέσας κατὰ μέτρον ἵκοιτο,
  οὐκ ἂν ἄωρος ἐὼν μοῖραν ἔχοι θανάτου.

24 (20 D.)

ἔργα δὲ Κυπρογενοῦς νῦν μοι φίλα καὶ Διονύσου
  καὶ Μουσέ͜ων, ἃ τίθησ' ἀνδράσιν εὐφροσύνας.

24 (I) Plut. Amat. 5 p. 751e ὅθεν, οἶμαι, καὶ Σόλων ἐκεῖνα μὲν (fr. 16) ἔγραψε νέος ὢν ἔτι καὶ 'σπέρματος πολλοῦ μεστός' ὡς ὁ Πλάτων φησί (Leg. 8, 839b)· ταυτὶ δὲ πρεσβύτης γενόμενος· [1–2], ὥσπερ ἐκ ζάλης καὶ χειμῶνος {καὶ} (del. Bachet de Méziriac) τῶν παιδικῶν ἐρώτων ἔν τινι γαλήνῃ τῇ περὶ γάμον καὶ φιλοσοφίαν θέμενος τὸν βίον || (II) Plut. Sol. 31, 7 [S(UMA=)Y] ἐπεὶ σχολῆς γε περιουσίαν αὐτοῦ μηνύουσιν αἱ τοιαῦται φωναί· [fr. 28] καί· [1–2] || (III) Plut. Sept. sap. conv. 13 p. 155e τὸν οὖν Μνησίφιλον προσαγορεύσας ὁ Πιττακὸς ἠρώτησε τί οὐ πίνει Σόλων, ἀλλὰ καταμαρτυρεῖ τῶν ποιημάτων ἐν οἷς γέγραφεν· [1–2] || (IV) Hermias in Plat. Phaedr. p. 231e (38, 14 Couvreur) καὶ ἔτι· [1–2]. praecedit fr. 17 || (V) P. Hercul. 1384 fr. 1 (Hercul. Vol. Coll. alt. XI 52) καὶ ἐλ[10 litt.] τοῦ ἐρᾶν [9 litt.] ἐν .ις ἀπε [8 litt.] γήρᾳ λέγω[ν·]⌊'ἔργα δὲ⌋ Κυπρογε⌊νοῦς νῦν⌋ μοι φίλα καὶ ⌊Διονύσου⌋ καὶ Μουσῶν, ⌊ἃ τίθησιν⌋ ἀνδράσιν εὐ⌊φροσύνας',⌋ νῦν φάσκων τ[8 litt.]σθαι καὶ ταῦτ' [7 litt.] ἐπιτηδεύμ [8 litt.] τὰ φιλομου [8 litt.] (ad textum cf. Gomperz, Wien. Stud. 2, 1880, 7ss et West ad l.)

16 Theogn. 1074 κρεῖσσόν τοι σοφίη καὶ μεγάλης ἀρετῆς || 17 Λ 225 ἥβης … ἵκετο μέτρον (Hes. Op. 438, Cat. fr. 205, 2 Merk.-West) || 18 Peek, G. V. 889, 2 (Amorgi, saec. V) ὤλετ' ἄωρος ἐών || 24 1 Theogn. 1308 Κυπρογενοῦς δ' ἔργων || 1s Anacr. 56, 3s Gent. ἀλλ' ὅστις Μουσέων τε καὶ ἀγλαὰ δῶρ' Ἀφροδίτης συμμίσγων ἐρατῆς μνήσκεται εὐφροσύνης

13 ἢ pro καὶ (I) M | cf. v. 7 | μέγ' ἄριστος (I) M (II) μετ' ἀρίσταις codd. cett. || 14 ὀκτώ τ' Mangey ὀκτὼ δ' codd., praeter (IV) ubi εἰς ὀ. δ' | ἀμφοτέρων (II) et ex corr. Mangey -ότερον (III) ἀμφο͂ (IV) -ότερα (I) (V) | τεσσαρεσκαίδεκ(α) (I) ABFH τεσσερεκ- (III) τέσσαρες καὶ δὴ (IV) | ἔτεα Renner || 15 μὴν (I) M, recepit Cohn | δύναται μὲν ἔτι Hart., Br. | μετριώτερα (II) | μαλακ. Hom., sed hic nova notione ('remissus', 'languidus') usurpatum || 16 ἀγορὴν pro ἀρετὴν dub. West | σῶμά τε καὶ δύναμις (II), retinuerunt Schndw., Hart., Bach σῶμά τε καὶ σοφίη Br.[1] (malit etiam Schaefer) σώματι καὶ σοφίῃ Br.[2] || 17 τὴν δεκάτην (I) M τῇ δεκάτῃ testes reliqui, receperunt Wint., Br., Bgk. alii τῆς δεκάτης Hart., probb. Huds.-Will., Edm., Adr. | δ' εἴ τις (I) codd. omnes, praeter H qui δ' om., (III) (V) δὲ ὅστις (IV) | δ' ὅτε δὴ τελέσῃ θεὸς ἕπτ' ἐνιαυτούς (II), retinuerunt Schndw. et Br. (sed τελέσει), Bgk. alii (cf. v. 3) || 18 ἄωρος novum | ἔοι pro ἐὼν (IV) ἔη (III) | cf. Callin. 1, 15 cum adn. | ἔχοι (I) MBH (III) ἔχῃ (I) A ἔχει (I) FG (II) (V) ἔχων (IV) || 24 1s post 27, 2 inserendos esse dub. censet D.[3] || 1 ἔργα τὰ (IV) | -γενέος dub. West | μοι νῦν (I) v. l. || 2 Μουσῶν (V) -σάων (II) U et (IV) | Μουσάων θ', ἃ τίθησ' Schndw.

25 (21 D.) *πολλὰ ψεύδονται ἀοιδοί.*

26 (22, 1—4 D.)

ἀλλ' εἴ μοι κἂν νῦν ἔτι πείσεαι, ἔξελε τοῦτο,
μηδὲ μέγαιρ', ὅτι σεῦ λῷον ἐπεφρασάμην,
καὶ μεταποίησον, Λιγυαστάδη, ὧδε δ' ἄειδε·
'ὀγδωκονταέτη μοῖρα κίχοι θανάτου.'

27 (22, 5—6 D.)

μηδέ μοι ἄκλαυστος θάνατος μόλοι, ἀλλὰ φίλοισι
καλλείποιμι θανὼν ἄλγεα καὶ στοναχάς.

28 (22, 7 D.) *γηράσκω δ' αἰεὶ πολλὰ διδασκόμενος.*

25 (I) PS.-PLAT. De iust. p. 374a *ἀλλά τοι, ὦ Σώκρατες, εὖ ἡ παλαιὰ παροιμία ἔχει, ὅτι·* [1] || (II) SCHOL. ad l. (402 Greene) *ση⟨μείωσαι⟩ παροιμία·* [1] ... *ἐμνήσθη ταύτης καὶ Φιλόχορος ἐν Ἀτθίδος α'* (FGrHist 328 F 1) *καὶ Σόλων ἐλεγείαις καὶ Πλάτων ἐνταῦθα* || **26** DIOG. LAERT. 1, 60 *φασὶ δ' αὐτὸν* (i. e. *Σόλωνα*) *καὶ Μιμνέρμου γράψαντος* (fr. 11) *ἐπιτιμῶντα αὐτῷ εἰπεῖν·* [1—4] || 3 ad *Λίγ.* cf. SUDA s. v. *Μίμνερμος* (III 397, 23 Adler)· *Λιγυρτυάδου ... ἐκαλεῖτο δὲ καὶ Λιγυαστάδης διὰ τὸ ἐμμελὲς καὶ λιγύ* || cf. LIBAN. Or. 12, 99 (II 44, 13 Foerster) et PROCL. in Plat. Remp. (II 172, 11 Kroll) || 4 PHOT. Lex. I 341 Naber *κιγχάνειν· τὸ ἐπεξιέναι· οὕτως Σόλων* et SUDA s. v. *κιγχάνειν* (III 115, 7 Adler)· *τὸ ἐπεξιέναι οἱ περὶ Σόλωνα* || **27** (I) PLUT. Publ. 24, 5 (comp. Sol. et Publ. 1, 5) *ἔτι τοίνυν, οἷς πρὸς Μίμνερμον ἀντειπὼν περὶ χρόνου ζωῆς ἐπιπεφώνηκε·* [1—2], *εὐδαίμονα τὸν Ποπλικόλαν ἄνδρα ποιεῖ* || (II) STOB. 4, 54 (*π. πένθους*), 3, V 1113 H. [SMA] *Σόλωνος·* [1—2] || cf. CIC. Tusc. 1, 117 *at vero ille sapiens* (i. e. Solon) '*mors mea ne careat lacrimis, linquamus amicis maerorem, ut celebrent funera cum gemitu*'. cf. De sen. 73 || **28** (I) PS.-PLAT. Amat. p. 133c *τί δ' ἄλλο γε* (scil. *τὸ φιλοσοφεῖν*) *ἢ κατὰ τὸ Σόλωνος; Σόλων γάρ που εἶπε·* [1] *καὶ ἐμοὶ δοκεῖ οὕτως ἀεὶ χρῆναι ἕν γέ τι μανθάνειν τὸν μέλλον-*

25 *τ* 203 *ψεύδεα πολλὰ λέγων, ἐτύμοισιν ὁμοῖα* (Hes. Theog. 27) || **26** 1 *Η* 28 *ἀλλ' εἴ μοί τι πίθοιο* (*υ* 381) || 2 *γ* 55 *κλῦθι ... μηδὲ μεγήρῃς* | Theogn. 430 *τοῦτό γ' ἐπεφράσατο* (706, in altero pentam. hemistichio) || 3 *θ* 83 *ταῦτ' ἄρ' ... ἄειδε* (367. 521) || **27** 1 Peek, G. V. 715, 5 *οὐκ ἄκλαυτον ἔχων τάφον* (Romae, saec. I/II) || 2 *Β* 39 *θήσειν ... ἄλγεά τε στοναχάς τε* (*ξ* 39, *α* 242s, *λ* 279), Peek, G. V. 77, 1s (Thessal., saec. V a. C.) *ὃς μάλα πολλο[ῖς] ἀστοῖς καὶ ξείνοις δõκε θανõν ἀνίαν*, 1121, 4 (Sami, saec. II/I) *ἔλιπον δάκρυα καὶ στοναχάς* (1537, 3s)

25 de proverbio vid. Test. 207 Martina (et adde Apostol. 14, 41, Paroem. Gr. II 615, 21); ad rem cf. Diog. Laert. 1, 59 *Θέσπιν ἐκώλυσε τραγῳδίας διδάσκειν, ὡς ἀνωφελῆ τὴν ψευδολογίαν,* Plut. Sol. 29, 6s (Test. 146 Martina) et Lanata 48 || **26** ad rem vid. Mimn. 11 cum adn. || 1 *καὶ νῦν* Thiersch (probb. Platt, West alii), sed ad *κἂν νῦν* elliptice usurpatum cf. Herm. in Viger. Idiot. 740 et Kühner-Gerth, Gr. Gr. I 245 | *τοῦτο* B et F^{ac} (i. e. *ἔπος*) *τοῦτον* P et F^{pc} (subaud. *στίχον* [Mimn. 11, 2 *ἑξηκονταέτη μοῖρα κίχοι θανάτου*], ut monuit Die., Onomat. 481ss, prob. H. Fränkel, Dicht. 289) || 2 *σέο* West | *λῷον ἐπεφρ-*

ΤΕΤΡΑΜΕΤΡΑ

(*ΠΡΟΣ ΦΩΚΟΝ*)

29 (23, 8–12 D.)

εἰ δὲ γῆς ἐφεισάμην
πατρίδος, τυραννίδος δὲ καὶ βίας ἀμειλίχου

τα φιλοσοφήσειν, καὶ νεώτερον ὄντα καὶ πρεσβύτερον, ἵν' ὡς πλεῖστα ἐν τῷ βίῳ μάθῃ ‖ (II) Schol. ad l. (110 Greene) *παροιμία ... εἴλκυσται μέντοι ἐκ τῶν Σόλωνος ἐλεγείων·* [1] ‖ (III) Plut. Sol. 2, 2 *σοφίας μὲν γὰρ ἦν ὁμολογουμένως ἐραστής, ὅς γε καὶ πρεσβύτερος ὢν ἔλεγε γηράσκειν αἰεὶ πολλὰ διδασκόμενος* [1]. sequitur fr. 18 ‖ (IV) Plut. Sol. 31, 6 *ὁ δὲ Σόλων ἀψάμενος μεγάλης τῆς περὶ τὸν Ἀτλαντικὸν λόγον ἢ μῦθον πραγματείας, ... ἐξέκαμεν οὐ δι' ἀσχολίας, ὡς Πλάτων φησίν* (Tim. p. 21 c), *ἀλλὰ μᾶλλον ὑπὸ γήρως, φοβηθεὶς τὸ μέγεθος τῆς γραφῆς. ἐπεὶ σχολῆς γε περιουσίαν αὐτοῦ μηνύουσιν αἱ τοιαῦται φωναί·* [1], *καί* [fr. 24] ‖ proverbium citant Paroem. Gr. I 58, 11; 229, 11; II 65, 3; 107, 18; 344, 2; Suda s. v. *γηρᾶναι* (I 523, 16 Adler). respiciunt etiam Plat. Lach. p. 188 b. 189 a, Resp. 7 p. 536 d et Schol. ad l., Cic. De sen. 26 et 50, Val. Max. 8, 7 ext. 14, Dio. Chrys. Or. 18, 1, Tatian. Adv. Graec. 35, Schol. Soph. Ant. 711, Ioann. Sicel. in Hermog. *π. ἰδ.* (Rhet. Gr. VI 201, 17 Walz), Psell. De daemon. p. 34 (sed *καινὰ* pro *πολλά*)

29 Plut. Sol. 14, 8 [S(UMA =)Y] *τούτων οὐδὲν ἐξέκρουσε τὸν Σόλωνα τῆς αὑτοῦ προαιρέσεως, ἀλλὰ πρὸς μὲν τοὺς φίλους εἶπεν, ὡς λέγεται, καλὸν μὲν εἶναι τὴν τυραννίδα χωρίον, οὐκ ἔχειν δ' ἀπόβασιν, πρὸς δὲ Φῶκον ἐν τοῖς ποιήμασι γράφων· εἰ δὲ γῆς, φησίν, ἐφεισάμην ... ἀνθρώπους* [1–5], *ὅθεν εὔδηλον ὅτι καὶ πρὸ τῆς νομοθεσίας μεγάλην δόξαν εἶχεν.* sequitur Test. fr. 29[a]

Boisson. et Schndw. *τοῖον ἐπεφρ-* codd. *λώιον ἐφρ-* Florens Christianus ap. Menagium (in edit. Laertiana, Londini 1664) *σ' εὖ τοῖον ἐπεφρ-* Allen | *λῷον'* (i. e. *στίχον*) Ziegler ‖ **3** *μεταπ.* novum | *ναιγιασταδη* vel *α(ι)γιασταδί* codd.: praeeunte Wolfio (ap. Boisson.) corr. Bgk. (*Λιγυαστ-*) et Die. (*Λιγυᾳστ-*) *Λιγιαστάδῃ* coni. West, alii alia; ad epitheti notionem vid. G. Pasquali, Pagine meno stravaganti, Firenze 1935, 117 et Björck, Alpha imp. 52; de re cf. etiam Mimn. Test. 1 et Wil., Sitzungsb. Preuß. Akad. 1912, 103 (= S. u. S. 280) ‖ **4** *ὀγδωκονταέτεα* Renner; ad hexasyllabum in priore pentametri colo usurpatum vid. p. XI | *μοῖρα κ. θ.* cf. Callin. 1, 15 cum adn. ‖ **27** **1s** praecedentis fragmenti versibus subiunxerunt Br. alii, separavit, praeeunte F. A. Wolfio, Bach, qui tamen ex eodem carmine eos petitos esse concessit ‖ **1** *μηδ' ἐμοὶ* Br. | *ἄκλαυτος* Herw. (Animadv. ad Theogn. 70), prob. West ‖ **2** *καλλίποιμοι* (II): tacite correxerat Gesn. *ποιήσαιμι* (I), retinuit Sitzl., Jahresb. 1900, 84 ‖ **28** *γηράσκειν* (III) | *αἰεὶ γηρ-* (II) | *δ'* om. (III) | *πάντα* Tatian., Schol. Soph. | ad medialem *διδασκ-* notionem cf. Soph. Ant. 354, Phil. 1387 et Tyrt. 8, 27 cum adn.

29 fragmenta 29, 29 a, 29 b in unum coniunxit D., auctore Wil., qui etiam 29 a ante 29 posuit ‖ **2** *βίας* Hart. *-ης* codd., retinuerunt edd. plerique ‖ **2s** cum Lavagnini (Aglaia ad l.) intellige: 'si tyrannidem non attigi et ideo famam meam contaminavi et foedavi, me nihil pudet'; de optanda tyrannide cf. Simon. 584 P. et Herodt. 3, 53, 4

οὐ καθηψάμην, μιάνας καὶ καταισχύνας κλέος,
οὐδὲν αἰδεῦμαι· πλέον γὰρ ὧδε νικήσειν δοκέω
5 πάντας ἀνθρώπους

29ª (23, 1–7 D.)

'οὐκ ἔφυ Σόλων βαθύφρων οὐδὲ βουλήεις ἀνήρ·
ἐσθλὰ γὰρ θεοῦ διδόντος αὐτὸς οὐκ ἐδέξατο.
περιβαλὼν δ' ἄγραν ἀγασθεὶς οὐκ ἐπέσπασεν μέγα
δίκτυον, θυμοῦ θ' ἁμαρτῇ καὶ φρενῶν ἀποσφαλείς·
5 ἤθελον γάρ κεν κρατήσας, πλοῦτον ἄφθονον λαβὼν
καὶ τυραννεύσας Ἀθηνῶν μοῦνον ἡμέραν μίαν,
ἀσκὸς ὕστερον δεδάρθαι κἀπιτετρῖφθαι γένος.'

29ª Plut. Sol. 14, 9–15, 1 [S(UMA =)Y] ἃ δὲ φυγόντος αὐτοῦ τὴν τυραννίδα πολλοὶ καταγελῶντες ἔλεγον, γέγραφεν οὕτως· [1–7]. ταῦτα τοὺς πολλοὺς καὶ φαύλους περὶ αὐτοῦ πεποίηκε λέγοντας. quae sequuntur vid. ad Test. 59 || 3 cf. Hesych. ἀγασθείς· θαυμασθείς || 4 cf. Hesych. ἁμαρτῆ· ὁμοῦ | ἀποσφαλείς· ἀποτυχών || 7 cf. Arsen. Viol. (79 Walz) ἀσκὸν δέρεις· ἐπὶ τῶν ἀνοήτως τι ποιούντων

29 3 Eur. Hel. 845 τὸ Τρωϊκὸν γὰρ οὐ καταισχυνῶ κλέος || **29ª** 2 α 390 Διός γε διδόντος

3 καθάπτ. Hom. ('compellare', 'increpare'), sed nova vi adhibitum (= ἅπτεσθαι) | μιήνας Ahr. | καί om. Y || 4 αἰδοῦμαι Boisson., Br. alii αἰδέομαι West || post v. 5 ex Plut. Sol. 15 (vid. Test. 59) tres tetrametros trochaicos perperam finxerunt, auctore Bekkero, viri docti ut Bgk., D.² alii || 29ª 1 ἔφυς (I) S (sed ς eras. S¹) | βαθύφρ. primus testis Solo; ad vocabuli notionem vid. Sn., Entd. 37 et Treu 114 | βουλήεις (-έεις dub. West) hapax || 2 ἐσθλά est ipsa tyrannis (cf. Herodt. 3, 53, 4 μὴ δῷς τὰ σεωυτοῦ ἀγαθὰ ἄλλοισι et H. Fränkel, Wege 67, adn. 3) || 3 ἄγρην Bgk.¹, prob. West | ἀτυσθείς Reiske ἀγρευτής Koraës, Huetio auctore ἀασθείς Lob. ad Soph. Ai. 309 et Ziegler, alii aliter; ad ἄγαμαι absolutum cf. Γ 224, σ 71 | ἔπαυσε Y ἔσπασε v. l. ἀνέσπασεν Xyl., Br. alii | ἐπισπ. novum || 4 θ' vulgo τε S δ' Y (et S suprascr.) | accentum (ἁμαρτῇ) probat Aristarchus (cf. Schol. b² Ε 656, II 89, 20 Erbse ὁ μὲν Ἀρίσταρχος τὸ ἁμαρτῇ χωρὶς τοῦ ῑ γράφει καὶ ὀξύνει, vid. etiam Et. Gud. 107, 6 De Stefani et Wack., Gött. Nachr. 1902, 742, adn. 1) ἁμαρτῇ vel ἁμαρτῇ codd., acceperunt Schndw., West alii | ἀποσφ. primum hoc loco translate adhibitum || 5 ἤθελον Xyl. ἤθελεν codd., deff. Schöne (Kiliae 1898), Masar., Defradas | ἄν Platt, Rich. || 5 ss ad participia cumulata vid. Tyrt. 7, 21 ss cum adn. || 6 τυραννίσας v. l., recepit Br.¹ (-ήσας Br.², Gaisf.) | ad τυραννεύω denominativum cf. Ernst Fraenkel, Denom. 20 | Ἀθηνέων Schndw., prob. West | ἡμέρην Bgk., West || 7 ἀσκὸς S et ex corr. Mus. αὐτὸς Y (etiam S in mg.) | 'Die gewöhnliche Fluchformel ist ἐξώλης εἴην καὶ αὐτὸς καὶ γένος τὸ ἐμαυτοῦ' (Wil., Leseb. Erl. 25; vid. etiam Test. 203 Martina). Aristoph. Nub. 440 ss et Plat. Euthyd. 285 cd huc respiciunt, ut primus animadvertit Schndw. | κἀπιτ- Xyl. alii καὶ ἐπιτ- codd. | -τρίφθαι Koraës, West alii

29b (23, 13–21 D.)

οἱ δ' ἐφ' ἁρπαγαῖσιν ἦλθον, ἐλπίδ' εἶχον ἀφνεάν
κἀδόκ[ο]υν ἕκαστος αὐτῶν ὄλβον εὑρήσειν πολύν
καί με κωτίλλοντα λείως τραχὺν ἐκφανεῖν νόον.
χαῦνα μὲν τότ' ἐφράσαντο, νῦν δέ μοι χολούμενοι
λοξὸν ὀφθαλμοῖς ὁρῶσι πάντες ὥστε δήιον,
οὐ χρεών· ἃ μὲν γὰρ εἶπα, σὺν θεοῖσιν ἤνυσα,
ἄλλα δ' οὐ μάτην ἔερδον, οὐδέ μοι τυραννίδος
ἁνδάνει βίᾳ τι [ῥέζ]ειν, οὐδὲ πιείρας χθονός
πατρίδος κακοῖσιν ἐσθλοὺς ἰσομοιρίαν ἔχειν.

ΙΑΜΒΟΙ

30 (24 D.)

ἐγὼ δὲ τῶν μὲν οὕνεκα ξυνήγαγον

29b (I) Aristot. Ath. Pol. 12, 3 (praecedit fr. 8) *καὶ πάλιν δ' ἑτέρωθί που λέγει περὶ τῶν διανείμασθαι τὴν γῆν βουλομένων·* [1–9]. sequitur fr. 30 || (II) Plut. Sol. 16, 3 [S(UMA =)Y] *ὅτι δ' οὖν προσέκρουσε τοῖς πλείστοις ἕτερα προσδοκήσασιν, αὐτὸς εἴρηκε περὶ αὐτῶν, ὡς·* [4–5]. praecedit Test. 60, sequitur Test. (II) fr. 31 || (III) Aristid. Or. 28, 137 (II 184, 29ss Keil) *ὁ δὲ δὴ Σόλων καὶ βιβλίον ἐξεπίτηδες πεποίηκεν, ὥσπερ ἡμεῖς εἰς τὴν Ἀθηνᾶν, οὕτως ἐκεῖνος εἰς αὐτὸν καὶ τὴν ἑαυτοῦ πολιτείαν, ἐν ᾧ ἄλλα τε δὴ λέγει καὶ ταῦτα· ἃ μὲν* [6] ...*⟨ἔ⟩ερδον* [7]. *ὁρᾷς ὡς αὐθαδῶς καὶ οὐ τῆς σῆς συμβουλῆς; καὶ ταῦτα μέν ἐστιν ἐν τετραμέτροις, ἐν δὲ τοῖς ἰάμβοις·* [fr. 30]. quae praecedunt vid. ad Test. 83 || 3 cf. Hesych. *κωτίλλω· κολακεύω* | cf. Hesych. *λείως· ῥαδίως* || 30 (I) Aristot. Ath. Pol. 12, 4 (praecedit fr. 29b) [*πάλιν*] (suppl. Ken.) *δὲ*

29b 5 Anacr. 78, 1 Gent. = 417, 2 P. *λοξὸν ὄμμασι βλέπουσα*

29b 1 cf. Eur. Her. 590s *οἳ στάσιν ἔθηκαν καὶ διώλεσαν πόλιν ἐφ' ἁρπαγαῖσι τῶν πέλας* | *οἱ* (= *οὗτοι οἵ*) edd. plerique, qui leviter post *ἦλθον* interpungunt *οἱ* Rich., West alii (post *ἦλθον* fortiter interpungentes) *οἱ ... κἀλπίδ'* Ziegler | *ἐφ' ἁρπαγῇ συνῆλθον* Rich. coll. 3, 13, probb. Linforth et Ziegler (Philol. Woch. 1928, 507) | *ἁρπαγῇσιν* West | *ἀφνεήν* West *ἁρπαγᾶν* Elter || 2 *κἀδόκ[ε]ον* West || 3 *κἀμὲ* Kaib.-Wil. | ad *κωτίλλ.* vid. Phocyl. 14, 2 adn. et Groni. ad Theogn. 363 | ad antithesin cf. 3, 34 *τραχέα λειαίνει* | *τρηχὺν* dub. West | Theogn. 967 *ἐκφαίνει ἦθος* contulit Kaib., Stil 148 || 4 *χάρμα* (II) S | cf. 15, 6 *σύμπασιν δ' ὑμῖν χαῦνος ἔνεστι νόος* || 5 *δήιοι* Reiske alii *δηίῳ* Rich. || 6 *οὐ χρεών* 'iniuria' (H. Fränkel, Dicht. 304, adn. 28) | *ἄελπτα* pro *γὰρ εἶπα* (III) || 7 *ἅμα δ'* (III), correxerat Gaisf. *ἄλλα δ' αὖ* Schneider | *ἔρδον* vel *ἔρδον* (III) *ἔρεζον* Kontos coll. 30, 17 || 8 *ἤνδανεν* Rich., prob. Edm. *ἄνδανεν* Bl. | *βίῃ* West | suppl. Ken., probb. edd. plerique *κινεῖν* Bury (Class. Rev. 1891, 178) *ποιεῖν* Kontos | *πιείρης* West || 9 *κακοί* et *ἐσθλοί* sunt cives humili et nobili loco nati (cf. 6, 1 et 30, 18) | *-μοιρίην* West | *ἰσομοιρία* novum (*O* 209 *ἰσόμορος*),

δῆμον, τί τούτων πρὶν τυχεῖν ἐπαυσάμην;
συμμαρτυροίη ταῦτ' ἂν ἐν δίκῃ χρόνου
μήτηρ μεγίστη δαιμόνων Ὀλυμπίων
5 ἄριστα, Γῆ μέλαινα, τῆς ἐγώ ποτε
ὅρους ἀνεῖλον πολλαχῇ πεπηγότας·
πρόσθεν δὲ δουλεύουσα, νῦν ἐλευθέρα.
πολλοὺς δ' Ἀθήνας, πατρίδ' ἐς θεόκτιτον,
ἀνήγαγον πραθέντας, ἄλλον ἐκδίκως,
10 ἄλλον δικαίως, τούς τ' ἀναγκαίης ὕπο

καὶ περὶ τῆς ἀποκοπῆς τῶν χρεῶν καὶ τῶν δουλευόντων μὲν πρότερον, ἐλευθερωθέντων δὲ διὰ τὴν σεισάχθειαν· [P. Lond. 108 (163 Pack²) 1–27 (L), P. Berol. (164 Pack²) 1–25 usque ad *ἤδ' ἔχει*[(B)]. sequitur fr. 31 || (II) Aristid. Or. 28, 138ss (II 185, 6ss Keil) *ἐν δὲ τοῖς ἰάμβοις (Σόλων λέγει)·* [3–22 usque ad *δῆμον*] ... *εἶτα τί φησιν ὁ Σόλων; εἰ γὰρ ... λύκος* [22–27]. *ὁρᾷς ὅτι καὶ Σόλων καλλωπίζεται καὶ σοῦ μεῖζον ἐφ' αὑτῷ φρονεῖ κτλ.* quae praecedunt vid. ad Test. (III) fr. 29ᵇ || (III) Plut. Sol. 15, 5s [S(UMA =)Y] *οἱ δὲ πλεῖστοι πάντων ὁμοῦ φασι τῶν συμβολαίων ἀναίρεσιν γενέσθαι τὴν σεισάχθειαν, καὶ τούτοις συνᾴδει μᾶλλον τὰ ποιήματα. σεμνύνεται γὰρ ὁ Σόλων ἐν τούτοις, ὅτι τῆς θ' ὑποκειμένης γῆς ὅρους ἀνεῖλε πολλαχῇ ... ἐλευθέρα* [6–7], *καὶ τῶν ἀγωγίμων πρὸς ἀργύριον γεγονότων πολιτῶν τοὺς μὲν ἀνήγαγεν* [cf. v. 9] *ἀπὸ ξένης γλῶσσαν ... ἔχοντας* [11–14] *ἐλευθέρους* [15] *φησὶ ποιήσασθαι* || (IV) Plut. Sol. 15, 1ss (quae praecedunt vid. ad Test. 59) *ἃ δὲ καὶ λέγων ἤλπιζε πειθομένοις καὶ προσάγων ἀνάγκην ὑπομένουσι χρήσεσθαι, ταῦτ' ἔπραττεν, ὥς φησιν αὐτός·* [16] || vid. Test. 54; 59; 63–76 (praesertim 71) || 6 cf. Hesych. *ὅρος· στήλη, ἡ καταπεπηγυῖα ἐπὶ χωρίῳ ἢ οἰκίᾳ*

10s Θ 57 *χρειοῖ ἀναγκαίῃ* (Apoll. Rh. 3, 988)

ad notionem vid. Ehr., Aspects 90 || 30 de carminis compositione et arte eleganter disserit H. Fränkel, Wege 75s || 1 *εἵνεκα* Kaib.-Wil. | *-αξυνηγαγον* (I), ita legerunt Bl., Platt, Wilcken alii *ἄξον' ἤγαγον* Wessely *ἀξονήλατον* Ken., alii alia

2 *δῆμον, τί ... ἐπαυσάμην;* ita interpunxit Jebb, probb. edd. plerique *δῆμον, τί; τούτων ... ἐπαυσάμην* Bl., alii alia | *-σαμαν* (I) B || 3 *-οίην* (I) B | *συμμαρτ.* novum | de tempore, iustitiae instrumento ad aequitatem restituendam cf. 3, 16 *τῷ δὲ χρόνῳ ... ἦλθ' ἀποτεισομένη* (i. e. *δίκη*) et Anaximandr. 12 B 1 D.-K. | *ἐν Δίκης θρόνῳ* Bgk. et Wil. ad tertiam Bergkianam editionem *ἐν δ. Κρόνου* Boisson. praeeunte Claverio (ap. Amyot in versione Plut. I, Parisiis 1559, 416) *ἐν δ. Χρόνου* Vollgraff, Ziegler, West || 5 de *ἄριστα* traiectione cf. 1, 45 cum adn. | *ἧς* (II), in *τῆς* correxerat Scal. | *τότε* dub. West coll. v. 23 et 29ᵇ, 4 || 6 *ἀνεῖλε* (III) | *πολλαχοῦ* (III) S | *-γότα* (I) L || 7 *πρόσθεν γε* Mayor, Stadtm. *πρόσθεν τε* Elter | *πρόσθεν δεδουλευκυῖα* Lugebil et Ziegler | *δουλεύσασα* (II) v. l., acceperunt Br., Bach alii | *δουλεύουσαν ... ἐλευθέραν* (III) S | ad *δουλ.* cf. 12, 4 cum adn. | *νῦν δ'* Herw.-Leeuw., Stadtm. et Ziegler coll. Aristot. Ath. Pol. 12, 4 *τῶν δουλευόντων μὲν πρότερον, ἐλευθερωθέντων δὲ κτλ.* | *ἐλευθέρη* Ahr., prob. West || 8 *εἰς* (I) L et (II) | *θεόκτιστον* (I) L (II) ASU [.......]*τον* (I) B | *θεόκτ.* novum (cf. *εὔκτιτος* Hom.) || 8ss cf. 3, 24s || 9 *ανη*[(I) B (deest L) *ἀπήγαγεν* (III) Y *ἀπῆγεν* (III) S | *πρηθέντας* Bgk.³·⁴ | *ἐνδίκως* (II) UTQ² || 10 *τούς τ'* Sn. *τοὺς δ'* (I) (II), probb. edd. |

χρειοῦς φυγόντας, γλῶσσαν οὐκέτ᾽ Ἀττικὴν
ἱέντας, ὡς ἂν πολλαχῇ πλανωμένους,
τοὺς δ᾽ ἐνθάδ᾽ αὐτοῦ δουλίην ἀεικέα
ἔχοντας, ἤθη δεσποτῶν τρομευμένους,
ἐλευθέρους ἔθηκα. ταῦτα μὲν κράτει,
ὁμοῦ βίαν τε καὶ δίκην ξυναρμόσας,
ἔρεξα καὶ διῆλθον ὡς ὑπεσχόμην,
θεσμοὺς δ᾽ ὁμοίως τῷ κακῷ τε κἀγαθῷ,
εὐθεῖαν εἰς ἕκαστον ἁρμόσας δίκην,
ἔγραψα. κέντρον δ᾽ ἄλλος ὡς ἐγὼ λαβών,
κακοφραδής τε καὶ φιλοκτήμων ἀνήρ,
οὐκ ἂν κατέσχε δῆμον· εἰ γὰρ ἤθελον
ἃ τοῖς ἐναντίοισιν ἥνδανεν τότε,
αὖτις δ᾽ ἃ τοῖσιν οὔτεροι φρασαίατο,
πολλῶν ἂν ἀνδρῶν ἥδ᾽ ἐχηρώθη πόλις.

21 cf. Hesych. *φιλοκτήμων· φιλοχρήματος*

13 s Hes. Cat. fr. 37, 4 Merk.-West *δεσμὸν ἀεικὲς ἔχων*

ad violatam II legem Knoxianam (sed cum elisione) vid. Gent., Metr. Gr. 206s
11 *χρειουσ* (I) L *χρεων* (I) B *χρησμὸν* (*λέγοντας*) (II), accepit Bach *δρησμὸν* Sitzl. *χρεοῦς* Wil. | *γλῶτταν* (III) Y | *οὐκ Ἀττ.* (III) || 12 *ὡς ἂν* = 'tamquam' (cf. Stahl, Krit.-hist. Syntax 336, adn. 2) | *ὥστε* (pro *ὡς ἂν*) suspic. Platt. *ὡς δὴ* coni. West || 13 *δουλείην* (III) S (ubi *-ίην* coniecerat Br.) *δουλείης* (II) *δουλοσύνην* (III) Y et S in mg. || 13s *δουλίης ἀεικέα ἔχοντας ἤθη, δεσπ. τρομ.* Bgk.[4] || 14 *ἤδη* (II) | *δεσποτέων* Schndw. (Beitr. 76), prob. West | *τρομεομ-* West || 15 *κράτει* (II) ASUQ[1] *κρατέει* (I) L *κράτη* (I) B et (II) TQ[2] || 16 cf. vv. 18ss | *ὁμοῦ* (I) B (II) (IV), deff. Jaeger (Adverb. 378ss), Ehr. (Aspects 70ss) alii *νόμου* (I) L, receperunt Ken.[3], Jaeger (Script. Min. II 17), D. alii | de abundantia stili (*ὁμοῦ ... ξυν-*) μ 424 *συνέεργον ὁμοῦ τρόπιν ἠδὲ καὶ ἱστόν* recte contulit Heinem. | *βίην* (I) B (IV) | *δ[ὲ* pro *τε* (I) B | *ξυν-* (II) T et suprascr. Q | *ξυναρμόζειν* novum || 17 *ἔρρεξα* (II) v. l. | *διεῖλον* Stadtm. *διήνυσ᾽* dub. Herw., Bgk.[3.4] *μετῆλθον* dub. Kontos | *ὑπισχόμη[ν* (I) L || 18—20 cf. fr. 7 || 18 *θεσμον* (I) B | *δ᾽* (II) et (I) B suprascr. (cf. M. Chambers, Trans. Am. Philol. Ass. 98, 1967, 57) *τε* (I) L (*θ᾽* suprascr. m. pr., acceperunt Ken., Chambers alii) | *ὁμοίους* (II) ASTQ[2], retinuit Bgk. | *καλῷ* pro *κακῷ* (I) B || 19 ad *εὐθ. δίκ.* cf. Tyrt. 1b, 6 et Prato ad l. || 20ss cf. Soph. fr. 683, 3s Pearson *λαβὼν ... χερσὶν κέντρα κηδεύει πόλιν* || 21 *κακοφρ.* cf. Ψ 483 | *φιλοκτ.* novum (cf. Hom. *φιλοκτέανος*) || 22 cf. 31, 6 || 23 *αὐτοῖς* (I) L, def. Platt, qui *ἥνδανεν* in *ἁνδάνειν* mutavit || 24 *αὖτις* (I) B *αυ.[.]σ* (I) L *αὖθις* vel *αὖθι* (II), ubi *αὖτις* coniecerant Bgk.[2], Elter | *ἃ τοῖσιν* (II) codd. omnes (praeter U ubi *αὖ τοισιν*) *ἃ τ[* (I) B *αὐτοῖσιν* (I) L | *ουτεροι φρασαιατο* (I) L (deest B) *ἀτέροις* (vel *ἑτ-*) *δρᾶσαι, διὰ* (II) || 25 cf. Herodt. 6, 83 *Ἄργος δὲ ἀνδρῶν ἐχηρώθη* | *εχει[* (I) B *ἐχειρώθη* (II), correxerat iam Valck.

τῶν οὕνεκ' ἀλκὴν πάντοθεν ποιούμενος
ὡς ἐν κυσὶν πολλαῖσιν ἐστράφην λύκος.

31 (25 D.)

δήμῳ μὲν εἰ χρὴ διαφάδην ὀνειδίσαι,
ἃ νῦν ἔχουσιν οὔποτ' ὀφθαλμοῖσιν ἂν
εὕδοντες εἶδον ⟨— ⏑ — × — ⏑⏓⟩
ὅσοι δὲ μείζους καὶ βίαν ἀμείνονες,
5 *αἰνοῖεν ἄν με καὶ φίλον ποιοίατο·*

*

οὐκ ἂν κατέσχε δῆμον, οὐδ' ἐπαύσατο,
πρὶν ἀνταράξας πῖαρ ἐξεῖλεν γάλα.
ἐγὼ δὲ τούτων ὥσπερ ἐν μεταιχμίῳ
ὅρος κατέστην.

31 (I) Aristot. Ath. Pol. 12, 5 (Pap. L tantum) *καὶ πάλιν ὀνειδίζων πρὸς τὰς ὕστερον αὐτῶν μεμψιμοιρίας ἀμφοτέρων·* [1–5]. *εἰ γάρ τις ἄλλος, φησί, ταύτης τῆς τιμῆς ἔτυχεν,* [6–9]. quae praecedunt vid. ad Test. (I) fr. 30 || (II) Plut. Sol. 16, 4 [S(UMA =)Y] *καίτοι φησίν, ὡς εἴ τις ἄλλος ἔσχε τὴν αὐτὴν δύναμιν,* [6–7]. praecedit Test. (II) fr. 29b

31 4 *O* 139 *βίην καὶ χεῖρας ἀμείνων*

26 *εἵνεκ'* Kaib.-Wil. (cf. v. 1) | *ἀρχὴν* (II), recepit Herm. (Bgk.) | *ποιούμενος* (I) L (*-εύμενος* Platt, D. alii *-εόμενος* West) *κυκεύμ-* (II), acceperunt Br., Bgk., Edm. *κυκλεύμ-* dub. Lob. ad Soph. Ai. 309 *κυκώμ-* dub. D. coll. 1, 61, sed cf. Soph. O. C. 459 *ἀλκὴν ποιεῖσθαι* | cf. 7, 5 || 27 cf. *M* 41 s *ἔν τε κύνεσσι . . . κάπριος ἠὲ λέων στρέφεται* | *πολλαι.*[.]. (I) L *πολλῇσιν* legerant Bl., Wilcken, Kaib.-Wil., probb. D. alii | *ἐτραφεν* vel *ἐγραφεν* (I) L
31 1–9 eidem carmini tribuit Wil. (Ar. u. Ath. II 310), probb. plerique edd. || 1 *διαφράδην* (I): corr. Kontos coll. Polluc. 2, 129 et Alcm. 1, 56 P. *μ' ἀμφάδην* Platt coll. Theogn. 90 || 3 ⟨*ἐν πύλησ' ὀνειράτων*⟩ coni. Cr. ex Babr. 30, 8, alii aliter || 4 *βίην* West || 6 s post 30, 21 inseruerunt Bach, Bgk. || 6 *οὔτ' . . . οὔτ'* (II) || 7 *ἀνταράξας* (I), def. Kontos *ἂν ταράξας* (II), unde *ἀνταράξας* coniecerat Adam ad Plat. Crit. 44 d *ἢ ταράξας* Kaib.-Wil. *ἀναταράξας* dub. Hi.-Cr. | cf. *Λ* 550 *βοῶν ἐκ πῖαρ ἑλέσθαι* (*P* 659) | *πῦαρ* (i. e. colostrum) (I), deff. Platt, Masar. | *ἐξέλῃ* (II) *ἐξελεῖν* Kontos || 8 s cf. 7, 5 et Eur. Heraclid. 803 *ἔστη μέσοισιν ἐν μεταιχμίοις δορός* (Phoen. 1361) || ad rem cf. Aristid. Or. (46) (II 360 Dind.) *καὶ τῶν μὲν πλουσίων ὅσον καλῶς εἶχεν ἀφεῖλεν, τῷ δήμῳ δ' οὐκ ἔδωκεν ὅσον ἐβούλετο, ἔστη δ' ἐν μεθορίῳ πάντων ἀνδρειότατα καὶ δικαιότατα κτλ.* || 9 *δορὸς* pro *ὅρος* coni. Jaeger (Script. Min. II 17), coll. Eur. Heraclid. 803 et Phoen. 1361, obloqu. Römisch | ad *ὅρος* cf. Wade-Gery, Mélanges Glotz. Paris 1932, 877 ss

32 (26, 1–5 D.)

πίνουσι καὶ τρώγουσιν, οἱ μὲν ἴτρια,
οἱ δ' ἄρτον αὐτῶν, οἱ δὲ συμμεμιγμένους
γούρους φακοῖσι· κεῖθι δ' οὔτε πεμμάτων
ἄπεστιν οὐδ' ἕν, ἅσσ' ἐν ἀνθρώποισι γῆ
φέρει μέλαινα, πάντα δ' ἀφθόνως πάρα. 5

33 (26, 6–7 D.)

σπεύδουσι δ' οἱ μὲν ἴγδιν, οἱ δὲ σίλφιον,
οἱ δ' ὄξος . . .

34 (26, 8 D.) *κόκκωνας ἄλλος, οὕτερος δὲ σήσαμα.*

35 (27 D.) *ἀρχῶν ἄκουε κἂν δίκῃ κἂν μὴ δίκῃ*

32 ATHEN. 14, 645f *γοῦρος ὅτι πλακοῦντος εἶδος ὁ Σόλων ἐν τοῖς ἰάμβοις φησίν·* [1–5] ‖ 1 cf. HESYCH. *ἴτρια· . . . πέμματα τε καὶ τραγήματα* et POLLUC. 6, 78 ‖ **33** POLLUX 10, 103 *καὶ ἴγδιν δὲ αὐτὴν (τὴν θυείαν) κεκλήκασι Σόλων τε ἐν τοῖς ἰάμβοις λέγων·* [1–2], *καὶ ἔτι σαφέστερον Ἀντιφάνης Κοροπλάθῳ* (fr. 127 K.) ‖ 1 cf. HESYCH. *ἴγδις· θυία* (ET. GUD. 271, 15 Sturz, ET. M. 464, 49) ‖ **34** PHRYNICH. Ecl. 374 (484 Ruth. = Anecd. Gr. II 399, 13 Bachm.) *ἔτι καὶ νῦν κόκκωνα λέγουσιν οἱ πολλοὶ ὀρθῶς· καὶ γὰρ Σόλων ἐν τοῖς ποιήμασιν οὕτω χρῆται·* [1] ‖ cf. HESYCH. *κόκκωνες· οἱ κόκκοι τῆς ῥοιᾶς. καὶ ὅθεν ἰξός* ‖ **35** (I) PS.-DIOGENIAN. 2, 99 (Paroem. Gr. I 213, 11 s) [1]· *ἐκ τῶν τοῦ Σόλωνος ἐλεγείων* (*τοῦ* et *ἐλεγείων* del. Nauck² ad fr. adesp. 436; *ἰάμβων* vel *ὑποθηκῶν* pro *ἐλεγ.* coni. Gaisf.; vid. Wil., Textg. 58) *παραινετική* ‖ (II) APOSTOL. 4, 3 (Paroem. Gr. II 310, 14) [1] | cf. APPEND. PROV. 1, 100 (Paroem. Gr. I 394, 1 ss), MACAR. 3, 36 (Paroem. Gr. II 157, 12)

32 5 Hymn. Ap. 536 *τὰ δ' ἄφθονα πάντα παρέσται* (Hom. Hymn. 30, 8)

32 1 ad *ἴτρια* cf. Anacr. 93, 1 Gent. = 373, 1 P., Aristoph. Ach. 1092, Archipp. fr. 9 K., Ephipp. fr. 8, 3 K. ‖ 2 *αὐτὸν* (scil. 'ipsum panem; solum nudum panem') Schweigh., prob. Bach | *-μειγν-* D. ‖ 3 *γῦρος* C *γώρος* E | ad *γούρ.* vid. J. E. Hammer, Nord. Tidskrift 1902–1903, 47 | de *φακ.* cf. Pelissier 8 s | 'possis *οὐδὲ*' West ‖ 4 *οὐδ' ἔνασσεν* codd.: corr. West *οὐδέν, ἅσσ' ἂν* edd. priores *οὐδέν, ἅσσα τ'* Ahr., probb. Linforth, D., Sn. alii *οὐδέν, ἅσσ' ἂν (φέρῃ)* Bach, praeeunte Schaefero *οὐδέν, οὔθ' ὅσ'* Bgk. *οὐδέν, ἅσσα γ'* Ebert ‖ 4 s cf. Tyrt. 5, 3 cum adn. ‖ 5 nota traiectionem *μέλ.* (*Γῆ μέλ.* ad 30, 5) | *πάντα τ'* Hart. *πάντα γ'* Hi. ‖ **33** 1 s cum praecedenti fragmento iungit D., intervallo interiecto ‖ 1 *σπεῦ* (vel *πευσῖ*), *σπευσιδα* (vel *πευσιδ'*) codd.: corr. Casaub. | ad *ἴγδιν* vid. Phrynich. Ecl. 143 (251 s Ruth.), ad *σίλφιον* cf. Dampase 166 ‖ **34** cum frr. 32–33 iunxit D. intervallo posito ‖ *κόκκωνας ἄλλος* (vel *κόκκωνα δ' ἄλλος*) Lob., probb. edd. *κόκκωνας δὲ ἄλλος* codd. | *ἕτερος* codd.: corr. Kal. *ἅτερος* Lob., alii alia | ad *σήσαμα* e sermone Semitico sumptum cf. H. Lewy, Die semitischen Fremdwörter im Griech., Berlin 1895, 29 ‖ **35** 'vix genuinum' West | ad rem cf. Soph. El. 340 *τῶν κρατούντων ἐστὶ πάντ' ἀκουστέα,* Trag. Gr. fr. adesp. 436 cit. et 437, Schol. Aesch. Cho. 78, P. Oxy. 3006, col. I 10 | *ἄρχων* (I)

36 (41 West) *ῥοῦς*

37 (43 West) *λιπαρὴ κουροτρόφος*

38 *ἀγρεύματα*

de ceteris glossis quas lexicographi e Solonis Legibus praesertim hauserunt cf. Test. 510–528 Martina; de tetrametris trochaicis in Plutarchi textu latentibus vid. Test. 59 p. 80.

39 (30a West)

IOANN. DIACON. Comment. in Hermog. *π. μεθόδου δεινότητος* (Rabe, Rhein. Mus. 63, 1908, 150) *τῆς οὖν κωμῳδίας οὕτως εὑρεθείσης, ἵνα μὴ πάντη διάχυσις γένηται, τὴν τραγῳδίαν εὑρήκασι, τὸ συνωφρυωμένον καὶ κατηφὲς ἐκ ταύτης εἰσφέροντες. ἄμφω δὲ παρ' Ἀθηναίοις ἐφεύρηνται, καθάπερ Ἀριστοτέλης φησίν* (cf. Poet. 3 p. 1448 a 30)· *ἐν ταύτῃ γὰρ ἄνθρωποι πρῶτοι γεγόνασι· διὸ καὶ ταύτῃ τῇ πόλει μαρτυρητέον τὰ κάλλιστα τῶν μαθημάτων καὶ σπουδαιότατα. τῆς δὲ τραγῳδίας πρῶτον δρᾶμα Ἀρίων ὁ Μηθυμναῖος εἰσήγαγεν, ὥσπερ Σόλων ἐν ταῖς ἐπιγραφομέναις Ἐλεγείαις ἐδίδαξε. Δράκων* (*Στράτων* Patzer) *δὲ ὁ Λαμψακηνὸς δρᾶμα φησὶ πρῶτον Ἀθήνησι διδαχθῆναι ποιήσαντος Θέσπιδος*. cf. Test. 714 Martina

°40 ([28] D.)

Πρῶτα μὲν εὐχώμεσθα Διὶ Κρονίδῃ βασιλῆι,
θεσμοῖς τοῖσδε τύχην ἀγαθὴν καὶ κῦδος ὀπάσσαι.

36 PHOT. Lex. II 136 Naber *ῥοῦν· τὸ ἥδυσμα. Σόλων* || **37** CHORIC. GAZ. Or. 2, 6 (29, 10 Foerster-Richtst.) *γῆ μὲν γὰρ τοῖς ἐνοικοῦσιν ἐπίσταται φέρειν, ὅσα τίκτουσιν ὧραι, ὑπτία τε πᾶσα καὶ καθειμένη καί, τὸ τοῦ Σόλωνος, λιπαρὴ κουρ. θάλαττα δὲ κτλ.* || **38** ANECD. GR. I 340, 15 Bekker (= I 26, 13 Bachm.) *ἀγρεύματα τὰ ἐπὶ τῆς ἀγροικίας κτήματα Σόλων εἶπε· σημαίνει δὲ καὶ σκῦλα* || **40** PLUT. Sol. 3, 5 *ἔνιοι δέ φασιν ὅτι καὶ τοὺς νόμους ἐπεχείρησεν* (scil. *Σόλων*) *ἐντείνας εἰς ἔπος ἐξενεγκεῖν, καὶ διαμνημονεύουσι τὴν ἀρχὴν οὕτως ἔχουσαν·* [1–2]. quae praecedunt vid. ad Test. 80

40 1 *Η* 194 *εὔχεσθε Διὶ Κρονίωνι ἄνακτι* || 1s *Θ* 141 *Κρονίδης Ζεὺς κῦδος ὀπάζει*

et (II) v. l., correxerat Schndw. | *κἂν δίκῃ κἂν μὴ δίκῃ* (I) K (cf. L. Cohn, Philologus Suppl.-Bd. 6, 1892, 260) *καὶ δικαίως κἀδίκως* (I) rell. codd. et (II) *καὶ δίκαια κἄδικα* Paroem. Gr. I 394, 1 et II 157, 12, retinuerunt Gaisf., Mein., Knox *καὶ δικαίῳ κἀδίκῳ* Bach *κἂν δοκῇ κἂν μὴ δοκῇ* coni. Nauck *κἂν δίκῃ κἂν μὴ δίκῃ* haud recte D.[3]; noli interpungere, cum D. aliis, post *δίκῃ*[1], quod quartam Knoxianam legem frangit (vid. G. Morelli, Maia 13, 1961, 149, adn. 15)
36 ex eodem carmine, quo frr. 32–34, desumptum censet D., e Legibus dub. West || **37** num reliquiae pentametri? || **38** cf. Test. 511 Martina. *ἄγρευμα* poeticum censet Lass., cf. Lasserre-Livadaras, Etymologicum Magnum Genuinum. Symeonis Etymologicum una cum magna grammatica. Etymologicum magnum auctum, Roma 1976, 51, 11 || **40** hi duo versus fortasse Soloni abiudicandi: nam eum hexametros adhibuisse aliunde non constat || 1 *εὐχόμεθα* vel *εὐχόμεσθα* v. l. || 2 cf. 11, 5 *χάριν καὶ κῦδος ὀπάζοι*

ASIVS

TESTIMONIA

1 Apollodor. Bibl. 3, 8, 2

Εὔμηλος δὲ καί τινες ἕτεροι λέγουσι Λυκάονι καὶ θυγατέρα Καλλιστὼ γενέσθαι· Ἡσίοδος μὲν γὰρ αὐτὴν μίαν εἶναι τῶν νυμφῶν λέγει, Ἄσιος δὲ Νυκτέως, Φερεκύδης δὲ Κητέως.

2 Strab. 6, 1, 15 p. 265

δοκεῖ δ' Ἀντίοχος τὴν πόλιν Μεταπόντιον εἰρῆσθαι πρότερον Μέταβον, παρωνομάσθαι δ' ὕστερον· τήν τε Μελανίππην οὐ πρὸς τοῦτον ἀλλὰ πρὸς Δῖον κομισθῆναι ἐλέγχειν ἡρῷον τοῦ Μετάβου καὶ Ἄσιον τὸν ποιητὴν φήσαντα ὅτι τὸν Βοιωτὸν 'Δίου ... Μελανίππη' (fr. 2 Kinkel), *ὡς πρὸς ἐκεῖνον ἀχθεῖσαν τὴν Μελανίππην, οὐ πρὸς Μέταβον.*

3 Athen. 12, 525e

περὶ δὲ τῆς Σαμίων τρυφῆς Δοῦρις (FGrHist 76 F 60) *ἱστορῶν παρατίθεται Ἀσίου ποιήματα, ὅτι ἐφόρουν χλιδῶνας περὶ τοῖς βραχίοσιν καὶ τὴν ἑορτὴν ἄγοντες τῶν Ἡραίων ἐβάδιζον κατεκτενισμένοι τὰς κόμας ἐπὶ τὸ μετάφρενον καὶ τοὺς ὤμους. τὸ δὲ νόμιμον τοῦτο μαρτυρεῖσθαι καὶ ὑπὸ παροιμίας τῆσδε 'βαδίζειν ⟨εἰς⟩* (suppl. Mein.) *Ἡραῖον ἐμπεπλεγμένον'. ἐστὶ δὲ τὰ τοῦ Ἀσίου ἔπη οὕτως ἔχοντα· 'οἳ δ' αὕτως ... πολεμιστήν'* (fr. 13 Kinkel).

4 Paus. 2, 6, 3

Λαμέδων γὰρ ὁ Κορώνου βασιλεύσας μετὰ Ἐπωπέα ἐξέδωκεν Ἀντιόπην· ἡ δὲ ὡς ἐς Θήβας ἤγετο τὴν ἐπ' Ἐλευθερῶν, ἐνταῦθα καθ' ὁδὸν τίκτει. καὶ ἐπὶ τούτῳ πεποίηκεν Ἄσιος ὁ Ἀμφιπτολέμου· 'Ἀντιόπη ... λαῶν' (fr. 1 Kinkel).

5 Paus. 2, 6, 5

Σικυῶνα δὲ οὐ Μαραθῶνος τοῦ Ἐπωπέως, Μητίονος δὲ εἶναι τοῦ Ἐρεχθέως φασίν· ὁμολογεῖ δέ σφισι καὶ Ἄσιος (fr. 11 Kinkel).

6 Paus. 2, 29, 4

Φώκῳ δὲ Ἄσιος ὁ τὰ ἔπη ποιήσας γενέσθαι φησὶ Πανοπέα καὶ Κρῖσον (fr. 5 Kinkel).

7 Paus. 3, 13, 8

γεγόνασι δὲ οἱ Τυνδάρεω παῖδες τὰ πρὸς μητρὸς ἀπὸ τοῦ Πλευρῶνος· Θέστιον γὰρ τὸν Λήδας πατέρα Ἀσιός (*Ἄρειος* codd.: corr. Hemsterh. et Valck.) *φησιν ἐν τοῖς ἔπεσιν Ἀγήνορος παῖδα εἶναι τοῦ Πλευρῶνος* (fr. 6 Kinkel).

8 Paus. 4, 2, 1

πυθέσθαι δὲ σπουδῇ πάνυ ἐθελήσας οἵ τινες παῖδες Πολυκάονι ἐγένοντο ἐκ Μεσσήνης, ἐπελεξάμην τάς τε Ἠοίας καλουμένας καὶ τὰ ἔπη τὰ Ναυπάκτια, πρὸς δὲ αὐτοῖς ὁπόσα Κιναίθων καὶ Ἄσιος ἐγενεαλόγησαν (fr. 12 Kinkel [=Cinaetho fr. 5]).

9 Paus. 5, 17, 8

Ἄσιος δὲ ἐν τοῖς ἔπεσι καὶ Ἀλκμήνην ἐποίησε θυγατέρα Ἀμφιαράου καὶ Ἐριφύλης εἶναι (fr. 4 Kinkel).

10 Paus. 7, 4, 1 s

Ἄσιος δὲ ὁ Ἀμφιπτολέμου Σάμιος ἐποίησεν ἐν τοῖς ἔπεσιν ὡς Φοίνικι ἐκ Περιμήδης τῆς Οἰνέως γένοιτο Ἀστυπάλαια καὶ Εὐρώπη ... Ἄσιος μὲν ἐς τοσοῦτον ἐν τοῖς ἔπεσιν ἐδήλωσε (fr. 7 Kinkel).

11 Paus. 8, 1, 4

μεγέθει μέντοι καὶ κατὰ ἀλκὴν καὶ κάλλος προεῖχεν ὁ Πελασγὸς καὶ γνώμην ὑπὲρ τοὺς ἄλλους ἦν, καὶ τούτων ἕνεκα αἱρεθῆναί μοι δοκεῖ βασιλεύειν ὑπ' αὐτῶν. πεποίηται δὲ καὶ Ἀσίῳ τοιάδε ἐς αὐτόν· 'Ἀντίθεον ... εἴη' (fr. 8 Kinkel).

12 Paus. 9, 23, 6

προελθόντι δὲ ἀπὸ τῆς πόλεως ἐν δεξιᾷ πέντε που καὶ δέκα σταδίους τοῦ Ἀπόλλωνός ἐστι τοῦ Πτώου τὸ ἱερόν. εἶναι δὲ Ἀθάμαντος καὶ Θεμιστοῦς παῖδα τὸν Πτῶον, ἀφ' οὗ τῷ τε Ἀπόλλωνι ἐπίκλησις καὶ τῷ ὄρει τὸ ὄνομα ἐγένετο, Ἄσιος ἐν τοῖς ἔπεσιν εἴρηκε (fr. 3 Kinkel).

13 Schol. Marc. δ 797 (I 236, 23 Dind.)
Ἄσιος δέ φησι 'κοῦραι . . . Πηνελόπεια' (fr. 10 Kinkel).

ΑΣΙΟΣ

Samius saec. VI ?

χωλός, στιγματίης, πολυγήραος, ἶσος ἀλήτῃ,
ἦλθε κνισοκόλαξ, εὖτε Μέλης ἐγάμει,
ἄκλητος, ζωμοῦ κεχρημένος, ἐν δὲ μέσοισιν
ἥρως εἱστήκει βορβόρου ἐξαναδύς.

Athen. 3, 125 b–d *'οὐ γὰρ μέλει σοι' ἔφη ὁ Μυρτίλος 'ἱστορίας, ὦ γάστρων. κνισολοιχὸς γάρ τις εἶ* ⟨*καὶ*⟩ (add. Casaub.) *κατὰ τὸν Σάμιον ποιητὴν Ἄσιον τὸν παλαιὸν ἐκεῖνον* {*καὶ*} (del. Casaub.) *κνισοκόλαξ . . .' πιόντος οὖν αὐτοῦ πάλιν ἐζήτει ὁ Οὐλπιανός· 'ποῦ κεῖται ὁ κνισολοιχὸς καὶ τίνα ἐστὶ τὰ τοῦ Ἀσίου ἔπη τὰ περὶ τοῦ κνισοκόλακος;' 'τὰ μὲν οὖν τοῦ Ἀσίου' ἔφη ὁ Μυρτίλος 'ἔπη ταῦτ' ἐστι·* [1–4] || cf. Phrynich. in Anecd. Gr. I 47, 10 Bekker *Κνισοκόλαξ· τὸν οὐδενὸς ἀγαθοῦ κόλακα, τοῦ αἰσχίστου δὲ πάντων*

1 σ 25 *Ἶρος ἀλήτης* (in fine versus) || 4 ε 438 *κύματος ἐξαναδύς* (Theogn. 1124, in altero pentam. colo)

ad rem cf. Welck., Ep. Cycl. I 135 et Wil., Textg. 60s || partem maioris carminis censet Bgk. || 1 *πολυγ.* novum || 2 *ἦλθε* CE *ἦλθεν* A, retinuerunt Kaib. alii *ἦλθεν ὁ* dett., receperunt edd. priores, Schweigh. alii | *Κνισοκόλαξ* Casaub., Schweigh. et Welck., qui de Creophylo Samio, poeta epico, cogitat; *κνισοκ.* hapax | de *Μέλ.* cf. Welck., qui *Μέλ.* fluvium, Homeri patrem, intelligit || 3 *ἐν δὲ μ.* cf. Tyrt. 10, 74 cum adn. || 4 *Ἶρος ἐφειστήκει* Kaib.; de Iro aliquo nuptiis interveniente cogitavit etiam Bgk.

PHOCYLIDES

TESTIMONIA VITAE ATQVE ARTIS

Chronographia

1 Euseb. Chron. Ol. 60, 1 (II 98 Schöne)

Σιμωνίδης μελοποιὸς ἐγνωρίζετο. Φωκυλίδης καὶ Ξενοφάνης (Test. 10) *φυσικὸς τραγῳδοποιὸς ἐγνωρίζετο.*

2 Cyrill. Contra Iulian. 1 p. 13 (Patr. Gr. 76, 522 b Migne)

πεντηκοστῇ ἐννάτῃ ὀλυμπιάδι (544 – 541) *Ἰβυκὸς ὁ μελοποιὸς καὶ Φερεκύδης ὁ ἱστοριογράφος καὶ Φωκυλίδης καὶ Ξενοφάνης* (Test. 15) *τραγῳδιῶν ποιηταὶ γεγόνασιν.*

3 Cyrill. Contra Iulian. 7 p. 225 (Patr. Gr. 76, 844 c Migne)

πεντηκοστῇ καὶ ὀγδόῃ ὀλυμπιάδι (548 – 545) *Φωκυλίδης καὶ Θέογνις ἐγενέσθην.* sequitur Test. 16.

4 Suda s. v. *Φωκυλίδης* (IV 754, 19 Adler)

Μιλήσιος, φιλόσοφος, σύγχρονος Θεόγνιδος· ἦν δὲ ἑκάτερος μετὰ χμζʹ ἔτη τῶν Τρωϊκῶν, ὀλυμπιάδι γεγονότες νθʹ (544 – 541). sequitur Test. 18.

5 Georg. Syncell. Chronogr. 238 b (I 452, 2 Dind.)

Φωκυλίδης καὶ Ξενοφάνης φυσικὸς τραγῳδοποιὸς ἐγνωρίζετο. cf. Test. 1.

De arte

6 Plat. Resp. 3 p. 407 a

ὁ δὲ δὴ πλούσιος, ὥς φαμεν, οὐδὲν ἔχει τοιοῦτον ἔργον προκείμενον, οὗ ἀναγκαζομένῳ ἀπέχεσθαι ἀβίωτον. — οὔκουν δὴ λέγεταί γε. —

Φωκυλίδου γάρ, ἦν δ' ἐγώ, οὐκ ἀκούεις πῶς φησι δεῖν, ὅταν τῳ ἤδη βίος ᾖ, ἀρετὴν ἀσκεῖν (cf. fr. 9). — *οἶμαι δέ γε, ἔφη, καὶ πρότερον.* — *μηδέν, εἶπον, περὶ τούτου αὐτῷ μαχώμεθα, ἀλλ' ἡμᾶς αὐτοὺς διδάξωμεν πότερον μελετητέον τοῦτο τῷ πλουσίῳ καὶ ἀβίωτον τῷ μὴ μελετῶντι, ἢ νοσοτροφία τεκτονικῇ μὲν καὶ ταῖς ἄλλαις τέχναις ἐμπόδιον τῇ προσέξει τοῦ νοῦ, τὸ δὲ Φωκυλίδου παρακέλευμα οὐδὲν ἐμποδίζει.*

7 Isocr. 2, 42 s

ἐπεὶ κἀκεῖνό μοι πρόδηλον ἦν, ὅτι τὰ συμβουλεύοντα καὶ τῶν ποιημάτων καὶ τῶν συγγραμμάτων χρησιμώτατα μὲν ἅπαντες νομίζουσιν, οὐ μὴν ἥδιστά γ' αὐτῶν ἀκούουσιν, ἀλλὰ πεπόνθασιν ὅπερ πρὸς τοὺς νουθετοῦντας· καὶ γὰρ ἐκείνους ἐπαινοῦσι μέν, πλησιάζειν δὲ βούλονται τοῖς συνεξαμαρτάνουσιν, ἀλλ' οὐ τοῖς ἀποτρέπουσιν. σημεῖον δ' ἄν τις ποιήσαιτο τὴν Ἡσιόδου καὶ Θεόγνιδος καὶ Φωκυλίδου ποίησιν· καὶ γὰρ τούτους φασὶ μὲν ἀρίστους γεγενῆσθαι συμβούλους τῷ βίῳ τῷ τῶν ἀνθρώπων, ταῦτα δὲ λέγοντες αἱροῦνται συνδιατρίβειν ταῖς ἀλλήλων ἀνοίαις μᾶλλον ἢ ταῖς ἐκείνων ὑποθήκαις. ἔτι δ' εἴ τις ἐκλέξειε τῶν προεχόντων ποιητῶν τὰς καλουμένας γνώμας, ἐφ' αἷς ἐκεῖνοι μάλιστ' ἐσπούδασαν, ὁμοίως ἂν καὶ πρὸς ταύτας διατεθεῖεν· ἥδιον γὰρ ἂν κωμῳδίας τῆς φαυλοτάτης ἢ τῶν οὕτω τεχνικῶς πεποιημένων ἀκούσαιεν.

8 Cic. ad Att. 4, 9, 1

nos hic cum Pompeio fuimus. multa mecum de re publica, sane sibi displicens, ut loquebatur (sic est enim in hoc homine dicendum), Syriam spernens, Hispaniam iactans, hic quoque ut loquebatur, et opinor usquequaque de hoc cum dicemus, sit hoc quasi *καὶ τόδε Φωκυλίδου.*

9 Plut. De audiendo 13 p. 45a – b

μέμψαιτο δ' ἄν τις Ἀρχιλόχου μὲν τὴν ὑπόθεσιν, Παρμενίδου δὲ τὴν στιχοποιίαν, Φωκυλίδου δὲ τὴν εὐτέλειαν, Εὐριπίδου δὲ τὴν λαλιάν, Σοφοκλέους δὲ τὴν ἀνωμαλίαν, ὥσπερ ἀμέλει καὶ τῶν ῥητόρων ἐστὶν ὁ μὲν οὐκ ἔχων ἦθος, ὁ δὲ πρὸς πάθος ἀργός, ὁ δ' ἐνδεὴς χαρίτων· ἕκαστός γε μὴν ἐπαινεῖται κατὰ τὸ ἴδιον τῆς δυνάμεως, ᾧ κινεῖν καὶ ἄγειν πέφυκεν. ὥστε καὶ τοῖς ἀκούουσιν εὐπορίαν εἶναι καὶ ἀφθονίαν τοῦ φιλοφρονεῖσθαι τοὺς λέγοντας.

10 Athen. 14, 620c (= Chamael. fr. 28 Wehrli, 27 Steffen)

Χαμαιλέων δὲ ἐν τῷ περὶ Στησιχόρου καὶ μελῳδηθῆναί φησιν οὐ μόνον τὰ Ὁμήρου, ἀλλὰ καὶ τὰ Ἡσιόδου καὶ Ἀρχιλόχου, ἔτι δὲ Μιμνέρμου (Test. 22) *καὶ Φωκυλίδου.*

11 Athen. 14, 632d

ὅτι δὲ πρὸς τὴν μουσικὴν οἰκειότατα διέκειντο οἱ ἀρχαῖοι δῆλον καὶ ἐξ Ὁμήρου· ὃς διὰ τὸ μεμελοποιηκέναι πᾶσαν ἑαυτοῦ τὴν ποίησιν ἀφροντιστὶ πολλοὺς ἀκεφάλους ποιεῖ στίχους καὶ λαγαρούς, ἔτι δὲ μειούρους. Ξενοφάνης (Test. 64) *δὲ καὶ Σόλων* (715 M.) *καὶ Θέογνις καὶ Φωκυλίδης, ἔτι δὲ Περίανδρος ὁ Κορίνθιος ἐλεγειοποιὸς καὶ τῶν λοιπῶν οἱ μὴ προσάγοντες πρὸς τὰ ποιήματα μελῳδίαν ἐκπονοῦσι τοὺς στίχους τοῖς ἀριθμοῖς καὶ τῇ τάξει τῶν μέτρων ... καὶ σκοποῦσιν ὅπως αὐτῶν μηθεὶς ⟨μήτε⟩* (suppl. Mein.) *ἀκέφαλος ἔσται μήτε λαγαρὸς μήτε μείουρος.*

12 Dio Chrys. Or. 2, 4 (I 17, 5ss Arnim, I 21, 23ss De Budé)

τὰ μὲν οὖν ἄλλα ποιήματα ἔγωγε ἡγοῦμαι τὰ μὲν συμποτικὰ αὐτῶν, τὰ δὲ ἐρωτικά, τὰ δὲ ἐγκώμια ἀθλητῶν τε καὶ ἵππων νικώντων, τὰ δ' ἐπὶ τοῖς τεθνεῶσι θρήνους, τὰ δὲ γέλωτος ἕνεκεν ἢ λοιδορίας πεποιημένα, ὥσπερ τὰ τῶν κωμῳδοδιδασκάλων καὶ τὰ τοῦ Παρίου ποιητοῦ. ἴσως δέ τινα αὐτῶν καὶ δημοτικὰ λέγοιτ' ἄν, συμβουλεύοντα καὶ παραινοῦντα τοῖς πολλοῖς καὶ ἰδιώταις, καθάπερ οἶμαι τὰ Φωκυλίδου καὶ Θεόγνιδος· ἀφ' ὧν τί ἂν ὠφεληθῆναι δύναιτο ἀνὴρ ἡμῖν ὅμοιος· [*A* 288]; *τὴν δέ γε Ὁμήρου ποίησιν μόνην ὁρῶ τῷ ὄντι γενναίαν καὶ μεγαλοπρεπῆ καὶ βασιλικήν, κτλ.*

13 Dio Chrys. Or. 36, 10 (II 3, 26ss Arnim, II 4, 19ss De Budé)

εἶπον οὖν προσπαίζων πρὸς αὐτόν 'πότερόν σοι δοκεῖ, ὦ Καλλίστρατε, ἀμείνων ποιητὴς Ὅμηρος ἢ Φωκυλίδης;' καὶ ὃς γελάσας ἔφη 'ἀλλ' οὐδὲ ἐπίσταμαι ἔγωγε τοῦ ἑτέρου ποιητοῦ τὸ ὄνομα, οἶμαι δὲ μηδὲ τούτων μηδένα. οὐδὲ γὰρ ἡγούμεθα ἡμεῖς ἄλλον τινὰ ποιητὴν ἢ Ὅμηρον. τοῦτον δὲ σχεδόν τι οὐδὲ ἄλλος οὐδεὶς ἀγνοεῖ.'

14 Dio Chrys. Or. 36, 11ss (II 4, 6ss Arnim, II 5, 4ss De Budé)

τὸν δὲ Φωκυλίδην ὑμεῖς μὲν οὐκ ἐπίστασθε, ὡς λέγεις· πάνυ δὲ τῶν ἐνδόξων γέγονε ποιητῶν. ὥσπερ οὖν ἐπειδάν τις τῶν ἐμπόρων

καταπλεύσῃ πρὸς ὑμᾶς οὐ πρότερον ⟨παρα⟩γεγονώς (suppl. dub. Emp.), *οὐκ εὐθὺς ἠτιμάσατε αὐτόν, ἀλλὰ πρότερον γευσάμενοι τοῦ οἴνου, κἂν ἄλλο τι φορτίον ἄγῃ, δεῖγμα λαβόντες, ἐὰν μὲν ἀρέσῃ ὑμᾶς, ὠνεῖσθε, εἰ δὲ μή, ἐᾶτε* (sequitur Test. fr. 4).

15 Iulian. Imp. Contra Christ. 224c (203, 6 Neumann)

ὁ σοφώτατος Σολομῶν παρόμοιός ἐστι τῷ παρ' Ἕλλησι Φωκυλίδῃ ἢ Θεόγνιδι ἢ Ἰσοκράτει; πόθεν; εἰ γοῦν παραβάλοις τὰς Ἰσοκράτους παραινέσεις ταῖς ἐκείνου παροιμίαις, εὕροις ἄν, εὖ οἶδα, τὸν τοῦ Θεοδώρου (scil. *Ἰσοκράτην*) *κρείττονα τοῦ σοφωτάτου βασιλέως* (scil. *Σολομῶνος*).

16 Cyrill. Contra Iulian. 7 p. 225 (Patr. Gr. 76, 844c Migne)

συγγεγράφασι δὲ καὶ αὐτοὶ (scil. *Φωκυλίδης καὶ Θέογνις*) *χρηστομαθῆ, ψιλὰ καὶ κεκομψευμένα, ὁποῖά περ ἂν καὶ τίτθαι κορίοις καὶ μὴν καὶ παιδαγωγοὶ φαῖεν ἂν νουθετοῦντες τὰ μειράκια.* praecedit Test. 3.

17 Steph. Byz. 452, 7ss

Μίλητος πόλις ἐπιφανὴς ἐν Καρίᾳ τῶν Ἰώνων ... ὁ πολίτης Μιλήσιος. οὕτως καὶ Θαλῆς Ἐξαμύου πατρὸς Μιλήσιος ἐχρημάτιζε καὶ Φωκυλίδης καὶ Τιμόθεος κιθαρῳδός ...

18 Suda s. v. *Φωκυλίδης* (IV 754, 19ss Adler)

Μιλήσιος, φιλόσοφος ... ἔγραψεν ἔπη καὶ ἐλεγείας, Παραινέσεις ἤτοι γνώμας· ἅς τινες Κεφάλαια ἐπιγράφουσιν· εἰσὶ δὲ ἐκ τῶν Σιβυλλιακῶν κεκλεμμένα. cf. Test. 4.

19 Schol. *B* 494–877 (I 289, 5ss Erbse)

εἰσὶ τρεῖς ἰδέαι λόγων κατὰ Πλάτωνα (Resp. 393d–394d)· *ἡ μιμητικὴ καὶ δραματική, καθ' ἣν ὁ ποιητὴς συνεχῶς εὐδοκιμεῖ τοῖς ἤθεσι τῶν εἰς μίμησιν ὑποκειμένων προσώπων· δευτέρα ἰδέα ἡ ἀμίμητος ὡς ἡ Φωκυλίδου καὶ Θεόγνιδος· καὶ τρίτη ἡ μικτή, ὡς ἡ τοῦ Ἡσιόδου.*

20 Eust. in Dionys. Perieg. 823 (GGM II 362, 16 Müller)

ἐκεῖθεν (i. e. *ἐκ Μιλήτου*) *ἦν Θαλῆς ... καὶ Φωκυλίδης καὶ Τιμόθεος ὁ κιθαρῳδός.* cf. Test. 17.

21 Commentariolus Byzantinus in art. Dionys. p. 1 (Gramm. Gr. I³ 566, 37 Hilgard)

ποιηταὶ δέ εἰσιν Ὅμηρος, Ἀριστοφάνης, Θεόκριτος, Ἀλκαῖος . . ., Φωκυλίδης καὶ οἱ λοιποὶ δὲ πάντες ποιηταί.

22 Anecd. Gr. II 97, 14ss Bachm.

οὕτως ἡ μαρτυρία μεγίστη πανταχόθεν τῷ μέτρῳ· καὶ τὸν Φωκυλίδην 'πάντων μέτρον ἄριστον' (Ps.-Phocyl. 36) *φάμενον οὐ μᾶλλον ἂν ἐπὶ τῆς ἐν ἔργοις συμμετρίας οἰηθείην τὸ ἔπος λέγειν, ἢ τοὺς πρὸς μέτρον οἷα δὴ κανόνας συντεθέντας τῶν λόγων ἄριστα πάντων ἔχειν.* (cf. Append. Prov. 5, 17, Paroem. Gr. I 461, 11 adn.)

°23 nomen Phocylidis pro Pythagorae irrepsit in Eustrat. in Aristot. Eth. Nic. Prooemium (Comment. in Aristot. Gr. XX 2, 10 Heylbut) *διαφέρουσι τοιγαροῦν ἀλλήλων τὸ ἠθικὸν τὸ οἰκονομικὸν καὶ τὸ πολιτικὸν πρῶτον μὲν κατὰ τὰ ὑποκείμενα, ὅτι τοῦ μὲν καθ' ἕνα ἄνθρωπον ἡ βελτίωσις, ὥστε καλόν τε καὶ ἀγαθὸν γενέσθαι τοῖς ἐν τῇ ἠθικῇ πραγματείᾳ παραδιδομένοις ἑπόμενον, φρονίμως τε ζῶντα καὶ τὸν οἰκεῖον λόγον ἔχοντα θυμοῦ καὶ ἐπιθυμίας ἐπικρατῆ, μέτρον τε ἐπιτιθέντα τῶν ὁρμῶν αὐτοῖς καὶ μηδαμοῦ συγχωροῦντα τούτοις ὡς ἔτυχε φέρεσθαι, ἵν' ἐν τοιαύτῃ τις ἕξει καθίσταιτο, ὡς ὅπερ ἂν πράξαι ἕτοιμος εἶναι λόγον ἀποδιδόναι ὀρθόν, καθ' ὃν αὐτῷ τὸ πεπραγμένον τετέλεσται, κἂν μηδεὶς εἴη ὁ τὸν λόγον ζητῶν, αὐτὸν πρὸς ἑαυτὸν ἀπευθύνεσθαι, ἑαυτὸν ὡς ἔχει κρίνοντα καὶ ἑαυτὸν ἐξετάζοντα, ἵν' ἐν μηδενί ποτε τοῦ εὖ ἀπολείποιτο, ὡς ἐφ' ἑκάστου λέγειν τῶν πεπραγμένων ὡς Φωκυλίδης* (*Πυθαγόρας* corr. Heylbut, cf. Carm. aur. 42 D.) *'πῇ παρέβην; τί δ' ἔρεξα; τί δέ μοι δέον οὐκ ἐτελέσθη;'*

γένος Φωκυλίδου pertractatur, teste Cramer (Anecd. Paris. II 117, 10), in cod. Bibl. reg. Paris. 2600, f. 114ʳ.

ΦΩΚΥΛΙΔΗΣ

Milesius saec. VI

ΕΛΕΓΕΙΑ

1 (1 D.)

Καὶ τόδε Φωκυλίδεω· Λέριοι κακοί, οὐχ ὁ μέν, ὃς δ' οὔ·
πάντες πλὴν Προκλέους· καὶ Προκλέης Λέριος.

ΓΝΩΜΑΙ

2 (2 D.)

Καὶ τόδε Φωκυλίδεω· τετόρων ἀπὸ τῶνδ' ἐγένοντο
φῦλα γυναικείων· ἡ μὲν κυνός, ἡ δὲ μελίσσης,
ἡ δὲ συὸς βλοσυρῆς, ἡ δ' ἵππου χαιτηέσσης.

1 (I) Strab. 10, 5, 12 p. 487 *ἔστι δὲ καὶ Ἄμοργος τῶν Σποράδων ... καὶ Λέβινθος καὶ †Λερία* (alii aliter emendaverunt)· [1–2]. *διεβέβληντο γὰρ ὡς κακοήθεις οἱ ἐνθένδε ἄνθρωποι* || (II) Apostol. 10, 58a (Paroem. Gr. II 502, 16) [1 inde a *Λέρ.* –2] *ἐπὶ τῶν πονηρῶν καὶ κακοήθων* || (III) Eust. in Dionys. Perieg. 530 (GGM II 320, 30 Müller) ... *ἧς* (i. e. *Λέρου*) *οἱ ἔποικοι κακοήθεις, ὡς δηλοῖ Φωκυλίδης, λέγων·* [1–2] (e Strabone) || 1 cf. Cic. ad Att. 4, 9, 1 (= Test. 8) || 2 Stob. 4, 22 (*π. γάμου*), 192, IV 561 H. [SMA] *Φωκυλίδου·* [1–8]

1 1s Herodt. 2, 37, 4 *οὐκ ὁ μέν, ὁ δ' οὔ, ἀλλὰ πάντες* (1, 139, 7) || 2 2 *I* 130 *φῦλα γυναικῶν* (272)

1 ad rem vid. S. Mazzarino, Per la storia di Lesbo nel VI° sec. a. C., Athenaeum 21, 1943, 45 || Demodoco (fr. 1) tribuit West, qui Phocylidem inter elegiacos poetas non esse numerandum opinatur, sed cf. Suda (Test. 18), Athen. (Test. 11) et Demodoc. °3 || 1 *-λίδου* codd.: corr. Fick, cf. 2, 1 et 5, 1 | ad negationes cf. Wack., Vorl. II 303 | *ὃ μέν* edd. plerique | *ὁ* (II) (III) || 2 *πάντες δὲ* (III) | *Πατροκλέους* et *Πατροκλέης* (I) codd. dett. et (II) codd. aliquot *Προκλέος* Renner, Fick | *Προκλέης δὲ Λέρ.* (I) v. l. et (III) || 2 1ss cf. Semon. 7, 2. 12. 57. 83 || 1 nota *τετόρων*, quod est dialectorum Graeciae occidentalis proprium | *τῶνδ'* Paris. 1985 et ex con. Br.[2,3] (dub. etiam Beutler) *τῶν* SMA | *τῶν⟨δε⟩ γένοντο* Tr.[ed.], Steph., edd. plerique *τῶν ⟨δὲ⟩ γίνονται* Br.[1] || 2 *γυναικείων* suspectum habuit Hense *γυναικεῖ' ὧν ἡ μὲν* Mein. *γυναικῶν· ἡ μὲν γὰρ* Hart., alii alia frustra || 2s *ἥδε ... ἥδε ... ἥδ'* Hertel

εὔφορος ἦδε, ταχεῖα, περίδρομος, εἶδος ἀρίστη·
ἡ δὲ συὸς βλοσυρῆς οὔτ' ἂρ κακὴ οὐδὲ μὲν ἐσθλή·
ἡ δὲ κυνὸς χαλεπή τε καὶ ἄγριος· ἡ δὲ μελίσσης
οἰκονόμος τ' ἀγαθὴ καὶ ἐπίσταται ἐργάζεσθαι·
ἧς εὔχευ, φίλ' ἑταῖρε, λαχεῖν γάμου ἱμερόεντος.

3 (3 D.)

Καὶ τόδε Φωκυλίδεω· τί πλέον, γένος εὐγενὲς εἶναι,
οἷς οὔτ' ἐν μύθοις ἕπεται χάρις οὔτ' ἐνὶ βουλῇ;

4 (4 D.)

Καὶ τόδε Φωκυλίδεω· πόλις ἐν σκοπέλῳ κατὰ κόσμον
οἰκεῦσα σμικρὴ κρέσσων Νίνου ἀφραινούσης.

3 Stob. 4, 29 (*π. εὐγενείας*), 28, V 715 H. [SMA] *Φωκυλίδου·* [1–2] || **4** Dio Chrys. Or. 36, 11ss (II 4, 11ss Arnim, II 5, 10ss De Budé) *οὕτως, ἔφην, καὶ τῆς Φωκυλίδου ποιήσεως ἔξεστί σοι λαβεῖν δεῖγμα ἐν βραχεῖ. καὶ γάρ ἐστιν οὐ τῶν μακράν τινα καὶ συνεχῆ ποίησιν εἰρόντων, . . . ἀλλὰ κατὰ δύο καὶ τρία ἔπη αὐτῷ καὶ ἀρχὴν ἡ ποίησις καὶ πέρας λαμβάνει. ὥστε καὶ προστίθησι τὸ ὄνομα αὐτοῦ καθ' ἕκαστον διανόημα, ἅτε σπουδαῖον καὶ πολλοῦ ἄξιον ἡγούμενος, οὐχ ὥσπερ Ὅμηρος οὐδαμοῦ τῆς ποιήσεως ὠνόμασεν αὐτόν. ἢ οὐ δοκεῖ σοι εἰκότως προσθεῖναι Φωκυλίδης τῇ τοιαύτῃ γνώμῃ καὶ ἀποφάσει·* [1–2]; *ἀλλ' οὐ πρὸς ὅλην Ἰλιάδα καὶ Ὀδύσσειαν ταῦτα τὰ ἔπη ἐστὶ τοῖς μὴ παρέργως ἀκροωμένοις; ἢ μᾶλλον ὑμῖν ἀκούειν συνέφερε περὶ τῶν τοῦ Ἀχιλλέως πηδήσεών τε καὶ ὀρούσεων καὶ τῆς φωνῆς, ὅτι μόνον φθεγξάμενος ἔτρεπε τοὺς Τρῶας, ταῦτα μᾶλλον ὠφελεῖ ὑμᾶς ἐκμανθάνοντας ἢ ἐκεῖνο, ὅτι ἡ σμικρὰ πόλις ἐν τραχεῖ* (*βραχεῖ* UBT) *σκοπέλῳ κειμένη κρείττων ἐστὶ καὶ εὐτυχεστέρα κατὰ κόσμον οἰκοῦσα ἢ*

4 *η* 57 *γυναικῶν εἶδος ἀρίστη* (*Β* 715, *Γ* 124 al., in hexam. exeunte) || 5 *θ* 553 *οὐ κακὸς οὐδὲ μὲν ἐσθλός* (*Ζ* 489, *χ* 415, *ψ* 66) || 6 *θ* 575 *χαλεποί τε καὶ ἄγριοι* (in eadem sede) || 7 *χ* 422 *διδάξαμεν ἐργάζασθαι* (in fine versus) || 8 *φίλος . . . ἑτ.* Hom. passim | Hymn. Ven. 142 *γάμον ἱμερόεντα* (*Ε* 429) || **3** 2 *γ* 127 *οὔτε ποτ' εἰν ἀγορῇ . . . οὔτ' ἐνὶ βουλῇ* (*Α* 490) | *θ* 175 *οὔ οἱ χάρις ἀμφὶ περιστέφεται ἐπέεσσιν* | *Δ* 323 *βουλῇ καὶ μύθοισιν* (*ν* 298, *π* 420) || **4** 1s cf. Pind. Paean. 4, 21s Sn.-Maehl. *ἤτοι καὶ ἐγὼ σ[κόπ]ελον ναίων διαγινώσκομαι μὲν ἀρεταῖς ἀέθλων Ἑλλανίσιν*

4 *εὔφορος* et *περίδ.* nova | *ἦδε* Paris. 1985 *ἡδε* M *ἠδὲ* SA, ut vid. || 5 *ἂν* pro *ἂρ* coni. vir doctus ap. Hense | *οὔτε* pro *οὐδὲ* Br.[1] || 8 *τῆς* malit Bgk.[3,4] | *εὔχεο* Fick *εὔχου* Gesn., Br. alii || **3** ad rem cf. Mazzarino l. c. || 1 *-λίδεω* Br. *-λίδου* codd., accepit Bgk.[2] | *τὸ* codd.: corr. Br.[2,3] (ex cod. quodam) et Wakefield (Silv. crit. III 92), *τὸ πλέον . . . βουλῇ* (sine puncto interrogativo) ironice dictum esse censet Boisson. || 2 *καὶ* pro *οἷς* coni. Hertel | *ἔργοις* pro *βουλῇ* Hart. || **4** 1 *-λίδου* codd.: corr. Br. | ad *κ. κ.* cf. Sol. 1, 11 cum adn. || 2 *οἰκέουσα* Fick | *κρείσσων* codex unus, recepit Br. | *ἀφραινεύσης* Schndw. | *Νίνος* deleta est 612 a. C.

5 (5 D.)

Καὶ τόδε Φωκυλίδεω· χρή τοι τὸν ἑταῖρον ἑταίρῳ
φροντίζειν, ἅσσ' ἂν περιγογγύζωσι πολῖται.

6 (6 D.)

⟨Καὶ τόδε Φωκυλίδεω·⟩ χρήστης κακοῦ ἔμμεναι ἀνδρός
φεύγειν, μή σέ γ' ἀνιήσῃ παρὰ καιρὸν ἀπαιτέων.

7 (7 D.)

Χρηίζων πλούτου, μελέτην ἔχε πίονος ἀγροῦ·
ἀγρὸν γάρ τε λέγουσιν Ἀμαλθείης κέρας εἶναι.

μεγάλη ἐν λείῳ καὶ πλατεῖ πεδίῳ, ἐάνπερ ἀκόσμως καὶ ἀνόμως ὑπὸ ἀνθρώπων ἀφρόνων οἰκῆται; . . . τὸ δὲ παρὸν σκεπτέον ἂν εἴη τὸ τοῦ Φωκυλίδου· ὡς ἐμοὶ δοκεῖ σφόδρα καλῶς λέγειν ὑπὲρ τῆς πόλεως. cf. etiam THEMIST. Or. 24 p. 307c *ἀλλὰ Φωκυλίδης τά τε ἄλλα ἀληθῆ λέγει καὶ ὅτι σμικρὰ πόλις μετὰ φρονήσεως ἐπὶ σκοπέλου κατοικοῦσα κρείττων Νίνου ἀφραινούσης* et MICHAEL CHONIAT. *ὁμιλία ἐπιστάντος τῷ κατ' Εὔβοιαν Εὐρίπῳ* 3, 8 (I 181, 8ss Lampros) *καὶ τί λέγω τοὺς καθ' ἡμᾶς ὅπου γε καὶ Φωκυλίδης Ἕλλην ἀνὴρ καὶ τῆς ἡμετέρας αὐλῆς πόρρω που θυραυλῶν τὴν ἐπὶ σκοπέλου ἱδρυμένην πόλιν κοσμίως οἰκοῦσαν κρείττονά φησι τῆς μεγάλης ἐκείνης Νίνου καὶ λίαν εὐδαίμονος;*

5 PHRYNICH. Ecl. 336 (463 Ruth.) *γογγυσμὸς καὶ γογγύζειν· ταῦτα ἀδόκιμα μὲν οὐκ ἔστιν, Ἰακὰ δέ. Φωκυλίδην γὰρ οἶδα κεχρημένον αὐτῷ τὸν Μιλήσιον, ἄνδρα παλαιὸν σφόδρα·* [1–2] ‖ 6 (I) SCHOL. Aristoph. Nub. 240 Dübner *Φωκυλίδης ἐν μὲν τοῖς αὐτοῦ ποιήμασι κατὰ τὴν συνήθειαν τοὺς χρεωφειλέτας χρήστας καλεῖ λέγων οὕτως·* [1–2] . . . *ἐν ἐκείνῳ μέντοι ἀντὶ τοῦ δανειστὴς λαμβάνεται· μηδέποτε χρήστης πικρὸς γένῃ ἀνδρὶ πένητι* [Ps.-Phocyl. 83] | cf. etiam TZETZ. in Aristoph. Nub. 239a (II 440, 7 Holwerda) ‖ (II) SUDA s. v. *ἀπαιτέων* (I 267, 26 Adler)· *ἀπαιτῶν. Φωκυλίδης (ἀπὸ τῶν Φωκυλίδου* A)· [1–2] ‖ (III) SUDA s. v. *χρῆσται* (IV 825, 15 Adler)· *δανεισταί . . . Φωκυλίδης δὲ κατὰ τὴν συνήθειαν τοὺς χρεωφειλέτας χρήστας καλεῖ, λέγων·* [1–2] ‖ cf. LIBAN. Epist. 1073 (XI 503 Foerster) *τὸν Εὐστάθιον δὲ μηδεὶς ἐπειγέτω μηδὲ διαφθειρέτω τοῖς δευτέροις τὴν χάριν μηδὲ τοιούτους ἡμᾶς ἀποφαινέτω χρήστας, οἵους φεύγειν παραινεῖ Φωκυλίδης* ‖ 7 STOB. 4, 15 (*π. γεωργίας ὅτι ἀγαθόν*), 6, IV 377 H. [SMA] *Φωκυλίδου·* [1–2] ‖ 2 cf. ZENOB. 2, 48 (Paroem. Gr. I 45, 11ss) *εἴρηται οὖν ἡ παροιμία ἐπὶ τῶν ἀφθόνως τισὶ παρεχομένων τὰς τοῦ πλουτεῖν ἀφορμάς· ἐπεὶ καὶ ὁ τὸ κέρας τῆς Ἀμαλθείας ἔχων πᾶν ὃ ἐβούλετο ἀφθόνως ἐλάμβανεν* | cf. etiam ZENOB. 1, 26 (Paroem. Gr. I 8, 9) et ET. GUD. s. v. *Ἀμ. κέρας* (105, 13 De Stefani)

5 1 *ἑταίρων* Kal. *ἑταίρου* dub. D. ‖ 2 *ὅσσων πέρι γογγ-* Salmas., prob. Hart. | *ρεριγογγ.* hapax ‖ 6 1 suppl. Bgk. | *χρήστας κακοὺς* (II) (III) | ad *ἔμμ. ἀνδρός* cf. Sol. 1, 39 cum adn. ‖ 2 *φεῦγε* (I) | *μή γε* vel *μή γε σε* (II) *μή γε* vel *μή σε* (III) | *ἀνιήσῃ* Bgk. *ἀνιήσειε διδούς* (I) (II) (III) ‖ 7 1 ad *πίονος ἀγροῦ* cf. Tyrt. 6, 3 cum adn. ‖ 2 *-θέης* M *-θαίης* S *-θείας* Sylb. | cf. Hor. Ep. 1, 12, 29 *aurea fruges pleno defudit Copia cornu* (C. 1, 17, 14ss)

8 (8 D.)

Νυκτὸς βουλεύειν, νυκτὸς δέ τοι ὀξυτέρη φρήν
ἀνδράσιν· ἡσυχίη δ' ἀρετὴν διζημένῳ ἐσθλή.

9 (9 D.) *δίζησθαι βιοτήν, ἀρετὴν δ', ὅταν ᾖ βίος ἤδη.*

10 (10 D.) *ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ' ἀρετή 'στιν.*

8 (I) Orion. Anth. 1, 22 (43 Schn.) *ἐκ τῶν Φωκυλίδου·* [1–2] || (II) Tzetz. in Aristoph. Ran. 931 (III 965, 6ss Koster) (cf. H. Keil, Rh. Mus. 6, 1851, 616) *ἐν νυξὶ δὲ καὶ οὐκ ἐν ἡμέραις σκοπεῖ, ὅτι διὰ τὴν τῶν θορύβων ἐν νυξὶν ἠρεμίαν αἱ ψυχικαὶ δυνάμεις ὀξύτεραι πρὸς νοητῶν ἀντιλήψεις· ὅθεν ἀρίστως καὶ Φωκυλίδης φησί·* [1] || de proverbio cf. Herodt. 7, 12, 5, Epicharm. frr. 270–271 Kaib., Menandr. Epitr. 76, Monost. 222 Jaekel, Plut. Them. 26, Liban. Progymn. 4 (VIII 109, 13; 116, 12 Foerster), Paroem. Gr. I 82, 8; I 269, 8; II 25, 1; II 406, 7, Et. Gud. 567, 3 De Stefani (Et. M. 399, 51) et Fragm. Com. adesp. 733 K. || 9 (I) Alex. Aphrod. in Aristot. Top.3 p. 118a 6 (Comment. in Aristot. Gr. II 258, 7ss Wallies) *τὸ γοῦν φιλοσοφεῖν τε καὶ θεωρεῖν βέλτιον μέν ἐστι τοῦ χρηματίζεσθαι, οὐ μὴν καὶ αἱρετώτερον τοῖς ἐν ἐνδείᾳ οὖσι καὶ μὴ δυναμένοις ἄλλως εἶναι· κατὰ γὰρ τὸν Φωκυλίδην·* [1] || (II) Ps.-Diogenian. 4, 39 (Paroem. Gr. I 237, 20) et Apostol. 6, 8a (Paroem. Gr. II 366, 10) [1] (sine poetae nomine) || (III) Plat. Resp. 3 p. 407a *Φωκυλίδου γάρ, ἦν δ' ἐγώ, οὐκ ἀκούεις πῶς φησι δεῖν, ὅταν τῳ ἤδη βίος ᾖ, ἀρετὴν ἀσκεῖν.* quae praecedunt vid. ad Test. 6 || cf. Hor. Ep. 1, 1, 53s *quaerenda pecunia primum est; virtus post nummos* | Liban. Epist. 1512 (XI 536, 14 Foerster) *καὶ γὰρ τούτου μετέσχηκε Φωκυλίδῃ πειθόμενος μετὰ χρήματα λόγων ἁψάμενος* || 10 (I) Aristot. Eth. Nic. 5 p. 1129b 27 *καὶ διὰ τοῦτο πολλάκις κρατίστη τῶν ἀρετῶν εἶναι δοκεῖ ἡ δικαιοσύνη ... καὶ παροιμιαζόμενοί φαμεν·* [1] || (II) Michael Ephes. ad l. (Comment. in Aristot. Gr. XXII 3, 8, 10ss Hayduck) *ἐν δὲ ... ἔνι* [1] *τουτέστιν ἅπαν κακὸν πόρρω τῆς δικαιοσύνης. ἡ δὲ παροιμία Θεόγνιδός ἐστιν* (147), *ὡς Θεόφραστός φησιν ἐν τῷ πρώτῳ Περὶ ἠθῶν λέγων, ἐν δὲ τῷ πρώτῳ τῶν 'Ηθικῶν ὡς Φωκυλίδης αὐτοῦ μέμνηται, καὶ οὐδὲν θαυμαστὸν καὶ Φωκυλίδην αὐτῷ καὶ Θέογνιν χρήσασθαι. πολλοὶ γὰρ ἐν μὲν τοῖς οἰκείοις δύνανται τῇ ἀρετῇ χρῆσθαι* || (III) Anonym. ad l. (Comment. in Aristot. Gr. XX 210, 11ss Heylbut) *εἴρηται δὲ οὕτως ... ἐν δὲ ... ἀρετή* [1]. *χώραν μέντοι παροιμίας ἐπέχει καὶ μέμνηται αὐτῆς ὡς παροιμίας Θεόφραστος ἐν τῷ πρώτῳ Περὶ ἠθῶν, ἐν δὲ τῷ πρώτῳ τῶν 'Ηθικῶν ὡς Φωκυλίδης αὐτῷ ἐχρήσατο, ἢ καὶ ὁμοίως ἀμφότεροι χρῶνται Φωκυλίδης καὶ Θέογνις τούτῳ* || cf. Xenoph. Mem. 4, 2, 11ss, Iamblich. ad Anatol. ap. Stob. 3, 9, 35, III 358 H., Ps.-Polum ap. Stob. 3, 9, 51, III 362 H. et Cic. De nat. deor. 1, 4 *una excellentissima virtus iustitia* etc.

8 ad rem cf. Degani, Poeti greci 25 || 2 cf. 9 | *ἀρετή* cod.: corr. Schndw. || 9 *δίζεσθαι* (II): em. Schndw. *δεῖ ζητεῖν* vel *ζητεῖσθαι* (I) | nota *δίζησθαι* (quod est Ionum) a Phocylide adamatum (cf. frr. 8 et 13) | *ἤδη* om. (II) || 10 ad rem cf. Wil., Glaube II 113 et Reitz., Epigr. u. Sk. 66ss | Phocylidi abiudicavit Kroll, Theognis-Interpr. 320ss; vid. etiam West I 181 (ad Theogn. 147) et II 93 || *ἔνι* pro *'στιν* (I) v. l. et (II)

11 (11 D.)

Πολλοί τοι δοκέουσι σαόφρονες ἔμμεναι ἄνδρες,
σὺν κόσμῳ στείχοντες, ἐλαφρόνοοί περ ἐόντες.

12 (12 D.) *πολλὰ μέσοισιν ἄριστα· μέσος θέλω ἐν πόλει εἶναι.*

13 (13 D.) *πόλλ' ἀέκοντα παθεῖν διζήμενον ἔμμεναι ἐσθλόν.*

14 (14 D.)

χρὴ δ' ἐν συμποσίῳ κυλίκων περινισομενάων
ἡδέα κωτίλλοντα καθήμενον οἰνοποτάζειν.

11 Stob. Ecl. 2, 15 (*π. τοῦ δοκεῖν καὶ τοῦ εἶναι κτλ.*), 8, II 186 W. [L] *Φωκυλίδου·* [1–2] || 12 (I) Aristot. Pol. 4 p. 1295b 25 *βούλεται δέ γε ἡ πόλις ἐξ ἴσων εἶναι καὶ ὁμοίων ὅτι μάλιστα, τοῦτο δ' ὑπάρχει μάλιστα τοῖς μέσοις ... διὰ τοῦτο καλῶς ηὔξατο Φωκυλίδης·* [1] || (II) Alex. Aphrod. in Aristot. Top. 3 p. 116a 13 (Comment. in Aristot. Gr. II 223, 10 Wallies) *διὰ τὸ βεβαιότερον καὶ ὁ μέσος βίος αἱρετώτερος τοῦ ἐν ὑπεροχῇ· λέγεται γοῦν·* [1] (ibid. 327, 11 Wallies *δόξης γὰρ καὶ ἀδοξίας τὸ μεταξὺ καταφάσει δηλοῦται· τοιοῦτος γὰρ ὁ μέσος, ὡς προείρηται μέσος θέλω ἐν πόλει εἶναι*) || 13 (I) Plut. De audiendo 18 p. 47e *οὐ γὰρ μόνον, ὥς φησι Φωκυλίδης,* [1], *ἀλλὰ καὶ γελασθῆναι δεῖ πολλὰ καὶ ἀδοξῆσαι* || (II) Clem. Alex. Strom. 5, 140, 6 *καὶ τῷ ὄντι ἀνάγκη·* [1] || (III) Anecd. Paris. I 166, 14ss Cramer *τὸ δὲ δὴ μέγιστον, ἄλυπος βίος καὶ ἐλεύθερος, οἷος ὅστις ἐπιβουλεύει καὶ διανοεῖται, ὡς ἑαυτὸν ἐλευθερώσων ἐκ τῶν παθῶν τε καὶ ἐθῶν, καὶ κτησάμενος, ἀνὴρ* (*κτησόμενος ἀρετὴν* Wil., S. u. S. 174, 2) *προσδιανοείσθω, καὶ εἰς* (*ὡς* Wil.) *ὅ τι χρή, οὐ μόνον τὸ Φωκυλλίδειον παθεῖν πόλλ' ἀέκοντα διζήμενον οὐ μόνον τὸ* (*ἔμμεναι* pro *οὐ μόνον τὸ* corr. Dind. ex Clem. Alex., prob. Wil.) *ἐσθλόν, ἀλλὰ καὶ πονῆσαι πόνους οὐ φαύλους· καὶ πατρίδος αὐτὸν ἀφελέσθαι χρεών, καὶ τῆς οὐσίας δι' ἀμέλειαν ἀπολλυμένης θαρρῆσαι, καὶ ἀδοξίαν καὶ ὀνείδη τὰ ἐπὶ τούτοις κτλ.* || 14 Athen. 10, 427f–428b *διὸ καὶ καλῶς οἱ παροιμιαζόμενοι λέγουσι τὸν οἶνον οὐκ ἔχειν πηδάλια ..., ὁ δὲ Φωκυλίδης ἔφη·* [1–2]

12 Theogn. 335 *πάντων μέσ' ἄριστα* || 13 *Z* 444 *ἔμμεναι ἐσθλός* (in fine versus) || 14 2 *ζ* 309 *τῷ ὅ γε οἰνοποτάζει ἐφήμενος* (*υ* 262) | *Y* 83 *οἰνοποτάζων* (in fine versus, ut *υ* 262 et Anacr. 56, 1 Gent.)

11 1 *σώφρ-* L: em. Gaisf. | ad *ἔμμ. ἄ.* cf. 6, 1 || 2 *ἐλαφρόνοί* L: em. Gaisf. | *ἐλαφρ.* novum || 12 ad rem cf. H. J. Mette, *Μηδὲν ἄγαν*, München 1933, 9 et G. A. Gerhard, Phoinix von Kolophon 269, adn. 3. vid. etiam Ps.-Phocyl. 36 et Young ad l. || *πάντα* Sylb. | *θέλων* (I) v. l. 'quasi Aristotelis haec sint' (Bgk.) || 13 *παθεῖν πολλὰ ἀέκοντα* (III): corr. Bgk. *πόλλ' ἀπατηθῆναι* (I), retinuerunt Sylb., Schier alii *πολλὰ πλανηθῆναι* (II), recepit Edm. || 14 1 *-νισσομ-* C, acceperunt Br. alii || 2 *κωτίλλ.* non est 'adulari' (cf. Sol. 29b, 3 cum adn.), sed 'colloqui', 'confabulari', ut, ex. gr., Theogn. 488. 816

15 (15 D.)

⟨ – ⏓ – ⏓ – ⏓ – ⟩ χρὴ παῖδ' ἔτ' ἐόντα
καλὰ διδάσκειν ἔργα ⟨ ⏑ – ⏓ – ⏑⏑ – x ⟩

16 (16 D.)

ἀλλ' ἄρα δαίμονές εἰσιν ἐπ' ἀνδράσιν ἄλλοτε ἄλλοι
οἱ μὲν ἐπερχομένου κακοῦ ἀνέρας ἐκλύσασθαι

ΕΠΙΓΡΑΜΜΑ

°17 ([17] D.)

Γνήσιός εἰμι φίλος καὶ τὸν φίλον ὡς φίλον οἶδα,
τοὺς δὲ κακοὺς διόλου πάντας ἀποστρέφομαι.
οὐδένα θωπεύω πρὸς ὑπόκρισιν· οὓς δ' ἄρα τιμῶ,
τούτους ἐξ ἀρχῆς μέχρι τέλους ἀγαπῶ.

15 Ps.-Plut. De lib. educ. 5 p. 3f *κινδυνεύει δὲ καὶ Φωκυλίδης ὁ ποιητὴς καλῶς παραινεῖν λέγων·* [1 – 2] || 16 Clem. Alex. Strom. 5, 127, 4 (= Euseb. Praep. Ev. 13, 13, 54) *ἔτι πρὸς τοῖσδε Φωκυλίδης μὲν τοὺς ἀγγέλους δαίμονας καλῶν, τοὺς μὲν εἶναι ἀγαθοὺς αὐτῶν, τοὺς δὲ φαύλους διὰ τούτων παρίστησιν, ἐπεὶ καὶ ἡμεῖς ἀποστάτας τινὰς παρειλήφαμεν·* [1 – 2] || 17 (I) Anth. P. 10, 117 *Φωκυλίδου·* [1 – 4] || (II) Anth. Pl. 1b 48, 1 [1 – 4] sine poetae nomine || (III) Anecd. Paris. IV 376, 3 Cramer [1 – 4]

15 2 χ 422 *τὰς μέν τ' ἔργα διδάξαμεν ἐργάζεσθαι* (Hymn. Cer. 144) || 16 2 κ 286 *δή σε κακῶν ἐκλύσομαι*

15 1s sic divisit Bgk. (praeeunte Schndw., Del. 473), probb. edd. plerique, alii aliter restituere conati sunt: cf., ex. gr., Hart. *χρὴ γὰρ παῖδ' ἔτ' ἐόντα τὰ καλὰ διδασκέμεν ἔργα,* Sylb. *παῖδ' ἔτ' ἐόντα χρεὼν δὴ καλὰ διδασκέμεν ἔργα* (Gaisf., Schndw.) etc. || 2 cf. 2, 7 || 16 ad rem cf. Wil., Glaube I 362, adn. 2 || 1 ad *ἄ. ἄ.* vid. Sol. 1, 76 cum adn. || 2 *κακὸν ἀνέρος* codd.: em. Schndw., Bgk. || ut ait Bergk, tertium versum (*οἱ δὲ* . . .) omisisse videntur testes || 17 in duo epigrammata divisit Bgk. || 3 *ποθεύω* (I) *τοθεύω* (III) | *ἄρ' ἀτιμάσω* (I) *ἄρα τιμήσω* (III)

DEMODOCVS

TESTIMONIA

1 Heliodor. Paraphr. ad Aristot. Eth. Nic. 7 p. 1151 a 6 (Comment. in Aristot. Gr. XIX 2, 150, 32 ss Heylbut)

ὅμοιος γάρ ἐστιν ὁ κατὰ τὴν ἀσθενῆ ἀκρασίαν ἀκρατὴς τοῖς ταχέως μεθυσκομένοις καὶ ὑπὸ ὀλίγου οἴνου καὶ ἐλάττονος ἢ ὡς οἱ πολλοί. ὅτι μὲν οὖν κακία ἐστὶν ἡ ἀκρασία, φανερόν, πλὴν οὐχ ἁπλῶς κακία, οἷα ἡ ἀκολασία, ἀλλά πῃ· καθόσον μὲν γὰρ προαιρεῖταί πως τὸ κακὸν ἐν τῷ πάθει ὤν, κακία ἐστί, καθόσον δὲ οὐ πάντῃ οἴεται δεῖν διώκειν τὸ πάθος, οὐκ ἔστι κακία· καὶ ἔστιν ὁμοία τοῖς Μιλησίοις, οὓς Δημόδοκος ἔφη σκώπτων· [fr. 1]. *τὸν αὐτὸν τρόπον καὶ οἱ ἀκρατεῖς ἀκόλαστοι μὲν οὐκ εἰσι, δρῶσι δὲ τὰ τῶν ἀκολάστων.*

2 Anonym. in Aristot. Eth. Nic. 7 p. 1151 a 2 (Comment. in Aristot. Gr. XX 439, 15 Heylbut)

ὁ Δημόδοκος Μιλήσιος Λέριος ἦν τὸ γένος· πολλὰ δ' ἀποσκώπτων τοὺς Μιλησίους ἔλεγεν, ὅτι οἱ Μιλήσιοι ἀσύνετοι μὲν οὐκ εἰσι, δρῶσι δὲ τὰ τῶν ἀσυνέτων.

ΔΗΜΟΔΟΚΟΣ

Lerius saec. VI?

ΕΠΙΓΡΑΜΜΑΤΑ

1 (1 D.)

⟨Καὶ τόδε Δημοδόκου·⟩ Μιλήσιοι ἀξύνετοι μέν
οὐκ εἰσιν, δρῶσιν δ' οἷά περ ἀξύνετοι.

ΤΕΤΡΑΜΕΤΡΑ

2 (6 D.) *ἢν τύχῃς τίνων, δικάζεν τὴν Πριηνίην δίκην.*

°3 ([2] D.)

Καὶ τόδε Δημοδόκου· Χῖοι κακοί· οὐχ ὁ μέν, ὃς δ' οὔ·
πάντες, πλὴν Προκλέους· καὶ Προκλέης δὲ Χῖος.

1 Aristot. Eth. Nic. 7 p. 1151 a 6ss *τὸ μὲν γὰρ παρὰ προαίρεσιν, τὸ δὲ κατὰ προαίρεσίν ἐστιν· οὐ μὴν ἀλλ' ὅμοιόν γε κατὰ τὰς πράξεις, ὥσπερ τὸ Δημοδόκου εἰς Μιλησίους·* [1–2]. *καὶ οἱ ἀκρατεῖς ἄδικοι μὲν οὐκ εἰσιν, ἀδικήσουσι δέ* | cf. Heliodor. Paraphr. ad l. (Test. 1) et Anonym. ad l. (Test. 2) || 2 Diog. Laert. 1, 84 *λέγεται δὲ (ὁ Βίας) καὶ δίκας δεινότατος γεγονέναι εἰπεῖν. ἐπ' ἀγαθῷ μέντοι τῇ τῶν λόγων ἰσχύι προσεχρῆτο· ὅθεν καὶ Δημόδοκος* (*δημόδικος* codd.: corr. Bochart) *ὁ Λέριος* (*ὁ ἀλιείριος* vel *ὁ ἀλείριος* codd.: corr. Menagius) *τοῦτο αἰνίττεται λέγων·* [1] *καὶ Ἱππῶναξ α'* (*ᾶ* codd.: corr. Mein.) '*καὶ δικάζεσθαι Βίαντος τοῦ Πριηνέως κρεῖσσον*' (123 West = 117 Med.) | cf. Suda s. v. *δικάζεσθαι* ... *κρείσσων* (II 93, 21 Adler)· *καὶ 'Πριην⟨ί⟩η δίκη', ἐπὶ τῶν ἰσχὺν ἐχόντων ἐν τῷ δικάζεσθαι* || 3 (I) Anth. P. 11, 235 *Δημοδόκου·* [1–2] || (II) Anth. Pl. 2a, 43, 8 *Δημοδόκου·* [1–2]

1 de Milesiorum moribus cf. Goebel 112 || 1 suppl. Bgk. || 1s finem hexametri et pentametrum agnovit Rich. || 2 *ἀξύνετοι* O[b] *οἱ ἀξύν.* codd. rell. *ἀξύν.* Rich. || 2 *τίνων* B[1]*P[1] *τήνων* P (*η* in ras.) *τηνων* B *πίνων* F, accepit dub. West *κρίνων* h (cod. Laur. 69. 35 saec. XV) et edd., sed obstat *δικάζεν* | *ἢν τύχῃς τίνων* 'si forte aliquid luere debeas' recte def. von der Mühll coll. Sol. 1, 29 | *δικάζεν κτλ.* 'causam dicas eadem eloquentia qua Bias in perorandis causis praestantissimus fuit' || 3 fictum ad Phocyl. 1 recte censuit Reitzenstein R. E. IV 2 (1901), 2870; aliter West, Page (Epigrammata graeca, Oxonii 1975, 2 adn.) qui hoc epigramma idem esse ac Phocyl. 1, ubi *Φωκυλίδεω* pro *Δημοδόκου* Strabonem lapsu memoriae (West) scripsisse putant || 1 *Λέριοι* West, Page || 2 *δὲ Χῖος* (II) *δὲ Χίου* Bgk. *Λέριος* West, Page

* lectionem cod. B (Neap. Borb. III B 29) nobis communicavit E. Degani.

°4 ([3] D.)

Πάντες μὲν Κίλικες κακοὶ ἀνέρες· ἐν δὲ Κίλιξιν
εἷς ἀγαθὸς Κινύρης· καὶ Κινύρης δὲ Κίλιξ.

°5 ([4] D.)

Καππαδόκην ποτ' ἔχιδνα κακὴ δάκεν· ἀλλὰ καὶ αὐτή
κάτθανε γευσαμένη αἵματος ἰοβόλου.

°6 ([5] D.)

Καππαδόκαι φαῦλοι μὲν ἀεί· ζώνης δὲ τυχόντες
φαυλότεροι· κέρδους δ' εἵνεκα φαυλότατοι·
ἢν δ' ἄρα δὶς καὶ τρὶς μεγάλης δράξωνται ἀπήνης,
δή ῥα τότ' εἰς ὥρας φαυλεπιφαυλότατοι.
μή, λίτομαι, βασιλεῦ, μὴ τετράκις, ὄφρα μὴ αὐτός
κόσμος ὀλισθήσῃ καππαδοκιζόμενος. 5

4 Anth. P. 11, 236 *τοῦ αὐτοῦ* (scil. *Δημοδόκου*)· [1–2] || 5 (I) Anth. P. 11, 237 *τοῦ αὐτοῦ* (scil. *Δημοδόκου*)· [1–2] || (II) Anth. Pl. 2a, 23, 9 *τοῦ αὐτοῦ* (scil. *Δημοδόκου*)· [1–2] || (III) Constant. Porphyr. Themat. 21 (66, 1 Pertusi) *καὶ ἄλλως*· [1–2]. quae praecedunt vid. ad Test. (IV) fr. °6 || 6 (I) Anth. P. 11, 238 ⟨*τοῦ αὐτοῦ*⟩ (scil. *Δημοδόκου*)· [1–6] || (II) Anth. Pl. 2a, 43, 10 ⟨*τοῦ αὐτοῦ*⟩ (scil. *Δημοδόκου*)· [1–6] || (III) Ioann. Lyd. De mag. 3, 57 (146 Wuensch) *οὐδὲ γὰρ ὕστε⟨ρον⟩* (suppl. Fuss) *ὑπέμενεν ὁ βασιλεύς* (scil. *Ἰουστινιανός*), *καλὸς καὶ ἐπιεικὴς τυγχάνων, πονηροῖς ἄρχουσι καταπιστεῦσαι τὴν ἀρχήν, ἤδη μαθὼν καὶ τοῖς ἔργοις εὑρών, ὡς*· [1–4] || (IV) Constant. Porphyr. Themat. 21 (66, 1 Pertusi) *διαβεβόηται δὲ παρὰ πᾶσιν ἐπὶ κακοτροπίᾳ τὸ τῶν Καππαδοκῶν γένος, ὡς καὶ παροιμίαν περὶ αὐτῶν ἐξενεχθῆναι … καὶ ἐν ἐπιγράμμασιν*· [1–4]. *καὶ ἄλλως*· (cf. fr. °5)

4 cf. Phocyl. fr. 1 || Demodoco abiudicavit Bgk. || 1 Cilices piratae fuisse perhibentur || 2 *καὶ* Jacobs *δὲ* P (cum signo delendi) || 5 Demodoco abiudicavit Bgk.: 'est autem satis novicium' || 1 *ἔχιδνα* ex *ἔχνιδνα* (II) || 2 nota hiatum et vid., ex. gr., Theogn. 478 *οὔτε τι γὰρ νήφω οὔτε λίην μεθύω* et Simon. 121, 2 D. (= Page, Epigramm. gr. 9) *κυάνεον θανάτου ἀμφεβάλοντο νέφος* || 6 epigramma in Ioannem Cappadocem, praef. praet. Iustiniani I, scriptum, cf. Krumbacher, Gesch. d. byz. Litt. 930ss || 2 *ἕνεκα* (III) || 3 *δράζωνται μεγαλως απηνεις* (III) || 4 *δ ἤρατο τις ὅρας* (III) (IV): corr. Fuss, probb. Bgk., D., West *δὴ τότε φί(γ)νονται* (I) (II) | *φαυλ' επιφαυλοτερας* (III) (IV), unde *φαυλεπιφαυλότεροι* Fuss, probb. Bgk., D., West

XENOPHANES

TESTIMONIA VITAE ATQVE ARTIS[1])

Chronographia

1 (Vors. 114, 18) Cic. Luc. 118 (e Theophr.)

Xenophanes paulo etiam antiquior (quam Anaxagoras)... quae sequuntur vid. ad Test. 47.

2 (Vors. 114, 30) Sext. Empir. Adv. math. 1, 257

Ξενοφάνης Κολοφώνιος ἐγένετο περὶ τὴν τεσσαρακοστὴν ὀλυμπιάδα. vid. Test. 3.

3 (Vors. 114, 26) Clem. Alex. Strom. 1, 64, 2

τῆς δὲ Ἐλεατικῆς ἀγωγῆς Ξενοφάνης ὁ Κολοφώνιος κατάρχει, ὅν φησι Τίμαιος (FGrHist 566 F 133) *κατὰ Ἱέρωνα τὸν Σικελίας δυνάστην* (478/7 – 468/7) *καὶ Ἐπίχαρμον τὸν ποιητὴν γεγονέναι, Ἀπολλόδωρος δὲ* (FGrHist 244 F 68) *κατὰ τὴν †τεσσαρακοστὴν* (620 – 617: *πεντηκοστὴν* [580 – 577] Ritter) *ὀλυμπιάδα γενόμενον παρατετακέναι ἄχρι τῶν Δαρείου τε καὶ Κύρου χρόνων*.

4 (Vors. 113, 11) Diog. Laert. 9, 18

μακροβιώτατός τε γέγονεν, ὥς που καὶ αὐτός φησι (fr. 7). vid. Test. 77.

5 (Vors. 114, 6) Diog. Laert. 9, 20

καὶ ἤκμαζε κατὰ τὴν ἑξηκοστὴν (540 – 537) *ὀλυμπιάδα*.

6 (Vors. 114, 23) Ps.-Lucian. Macrob. 20

Ξενοφάνης δὲ ὁ Δεξίνου μὲν υἱός, Ἀρχελάου δὲ τοῦ φυσικοῦ μαθητής, ἐβίωσεν ἔτη ἓν καὶ ἐνενήκοντα.

---

1) Hic adnumerantur testimonia quae, etsi iam a Dielsio congesta sunt, ad artem et fragmenta illustranda pertinent; addidimus alia quae in Vors(okratiker I 113 – 126) vel Dox(ographi) desunt.

7 (Vors. 114, 25) Censorin. De die natali 15, 3

Xenophanes Colophonius maior annorum centum fuit.

8 (Vors. 122, 29) Hippolyt. Refut. 1, 14, 1

Ξενοφάνης ... ἕως Κύρου διέμεινεν. quae sequuntur vid. ad Test. 86.

9 (Vors. 114, 32) Euseb. Chron. Ol. 56 (II 96 Schöne)

Ξενοφάνης Κολοφώνιος ἐγνωρίζετο. cf. Chron. pasch. 267, 10.

10 (Vors. 114, 33ss) Euseb. Chron. Ol. 60, 1 (II 98 Schöne)

Σιμωνίδης μελοποιὸς ἐγνωρίζετο. Φωκυλίδης (Test. 1) *καὶ Ξενοφάνης φυσικὸς τραγῳδοποιὸς ἐγνωρίζετο.* de annorum discordia apud Eusebium vid. Unterst. CCLXVIIIs.

11 Flav. Ioseph. ap. Arsen. Viol. 310 Walz (= Euseb. Praep. Ev. 10, 14, 14)

κατὰ δὲ τὸν αὐτὸν τῷ Ἀναξαγόρᾳ χρόνον ἤκμασαν ἄνδρες φυσικοὶ Ξενοφά νης τε καὶ Πυθαγόρας.

12 Euseb. Praep. Ev. 14, 17, 10

τοιοίδε μὲν οὖν ἀμφὶ τὸν Ξενοφάνην, ὃς δὴ λέγεται συνακμάσαι τοῖς ἀμφὶ Πυθαγόραν καὶ Ἀναξαγόραν, Ξενοφάνους δὲ ἀκουστὴς γέγονε Παρμενίδης.

13 Hieronym. Chron. Ol. 56 (103b, 3s Helm)

Xenophanes Colophonius clarus habetur. cf. Test. 9.

14 Hieronym. Chron. Ol. 60 (103b, 23ss Helm)

Simonides lyricus et Phocylides clari habentur et Xenophanes physicus scriptor tragoediarum. cf. Test. 10.

15 Cyrill. Contra Iulian. 1 p. 13 (Patr. Gr. 76, 522b Migne)

πεντηκοστῇ ἐννάτῃ ὀλυμπιάδι (544—541) *Ἴβυκὸς ὁ μελοποιὸς καὶ ... Φωκυλίδης* (Test. 2) *καὶ Ξενοφάνης τραγῳδιῶν ποιηταὶ γεγόνασιν.*

16 (Vors. 114, 36) Ps.-Iamblich. Theol. arithm. 14 (52, 18ss De Falco)

φʹ γὰρ καὶ ιδʹ ἔτη ἔγγιστα ἀπὸ τῶν Τρωικῶν ἱστορεῖται μέχρι Ξενοφάνους τοῦ φυσικοῦ καὶ τῶν Ἀνακρέοντός τε καὶ Πολυκράτους

χρόνων καὶ τῆς ὑπὸ Ἁρπάγου τοῦ Μήδου Ἰώνων πολιορκίας καὶ ἀναστάσεως, ἣν Φωκεῖς φυγόντες Μασσαλίαν ᾤκησαν· πᾶσι γὰρ τούτοις ὁμόχρονος ὁ Πυθαγόρας.

17 Augustin. De civ. Dei 18, 25

eo captivitatis Iudaicae tempore et Anaximenes et Xenophanes physici claruerunt.

18 Georg. Syncell. Chronogr. 238b (I 452, 2 Dind.)

Φωκυλίδης (Test. 5) *καὶ Ξενοφάνης φυσικὸς τραγῳδοποιὸς ἐγνωρίζετο.* cf. Test. 10.

Facta et dicta memorabilia

19 Plut. De vit. pud. 5 p. 530e

οἷον ἐν δείπνῳ προπίνει τις ἄδην ἔχοντι· μὴ δυσωπηθῇς μηδὲ προσβιάσῃ σαυτόν, ἀλλὰ κατάθου τὸ ποτήριον. αὖθις ἕτερος παρακαλεῖ κυβεύειν παρὰ πότον· μὴ δυσωπηθῇς μηδὲ δείσῃς σκωπτόμενος, ἀλλ᾿ ὥσπερ Ξενοφάνης Λάσου τοῦ Ἑρμιονέως μὴ βουλόμενον αὐτῷ συγκυβεύειν δειλὸν ἀποκαλοῦντος ὁμολόγει καὶ πάνυ δειλὸς εἶναι πρὸς τὰ αἰσχρὰ καὶ ἄτολμος.

20 Stephan. in Aristot. Rhet. 1 p. 1377a 19ss (Comment. in Aristot. Gr. XXI 292, 20ss Rabe = Anecd. Paris. I 281, 27ss Cramer)

καὶ τὸ τοῦ Ξενοφάνους. καὶ τοῦτο ἔνστασίν τινα ἀνακύπτουσαν λύει· εἶπε γὰρ ἂν ὁ ἐναγόμενος ὅτι ʿσὺ προκαλεῖς ἐμὲ εἰς τὸ ὀμόσαι με, ἐγὼ προκαλοῦμαι σὲ εἰς τὸ ὀμόσαι· σὺ δέδοικας ὀμόσαι· λοιπὸν ἄρα τὸ συνειδός σου κεκαυτηριασμένον φέρεις· ἄρα ψεύδῃ, ἐν οἷς ἐνάγεις κατ᾿ ἐμοῦ, καὶ διὰ τοῦτο εὐλαβῇ ὀμόσαι. ἐγὼ δὲ ὀμόσω· λοιπὸν ἀπὸ τούτου τοῦ μὴ δεδιέναι με περὶ τῷ ὅρκῳ φαίνομαι ἀληθεύων.᾿ πρὸς ταύτην τὴν ἔνστασιν τὸ τοῦ Ξενοφάνους προβάλλεται ὁ ἐνάγων καὶ λέγει ʿοὐκ ἔστιν ἴσον, ἐὰν σὺ προκαλῇς ἐμὲ εἰς ὅρκον καὶ ἐὰν ἐγὼ σέ· σὺ μὲν γὰρ ἔοικας ἰσχυρῷ παγκρατιαστῇ εἰς τὸ ὀμνύειν πολλάκις καὶ πολλάκις καὶ μυριάκις ὀμόσας, ἐγὼ δὲ ἔοικα ἀμαθεῖ καὶ δειλῷ καὶ ἄρτι τὴν κονίστραν εἰσιόντι· διὸ καὶ δέδοικα.᾿ — (1377a 20) *ἀλλ᾿ ὁμοία. μὴ οὕτως ἀνάγνωθι· ʿ ὅτι οὐκ ἴση ἡ πρόκλησις αὕτη εὐσεβεῖ πρὸς ἀσεβῆ* (cf. fr. 22) *ἀλλ᾿ ὁμοία᾿, μὴ οὖν ὧδε στίξῃς· ἀδιανόητος γάρ σοι ὁ λόγος ἀποβήσεται· ἀλλ᾿ οὕτως εἰπέ ʿἀλλ᾿ ὁμοία καὶ εἰ ἰσχυρὸς*

ἀσθενῆ πατάξαι ἢ πληγῆναι προκαλέσαιτο'. οὐκ ἔστι, φησίν, ἴση κατὰ πάντα ἡ τοῦ ἀσεβοῦς πρὸς εὐσεβῆ καὶ ἡ τοῦ εὐσεβοῦς πρὸς ἀσεβῆ πρόκλησις, ἀλλ' ὁμοία εἰ καὶ ἰσχυρὸς ἀθλητὴς προκαλεῖται εἰς μονομάχιον τὸν ἀσθενῆ, ὥστε ἢ πατάξαι ἢ παταχθῆναι ἢ πλῆξαι ἢ πληγῆναι· προκαλούμενος γὰρ οὕτω λέγει 'ἐλθὲ μονομαχήσων με, καὶ ἢ ἐγὼ σὲ πατάξω ἢ σὺ ἐμὲ πατάξεις', τουτέστιν 'ἢ ἐκδράσω ἢ πείσομαι'. διὸ τὸ μὲν πατάξω ἐπὶ τοῦ δρᾶσαι ἔθηκε, τὸ δὲ πληγῆναι ἐπὶ τοῦ παθεῖν. — (1377a 21) *εἰ δὲ λαμβάνει, ὅτι πιστεύει αὑτῷ. ὁ λαμβάνων τὸν ἀντεπακτὸν ἀπὸ τοῦ ἐναγομένου, μὴ διδοὺς δὲ ἐκείνῳ τὸν ἐπακτὸν ἐπιχειρήσει ὅτι 'σὲ οἶδα ἐπίορκον καὶ οὐκ ἂν δῴην σοι ὅρκον· ἐγὼ δὲ ὀμόσω· θαρρῶ γὰρ ἑαυτῷ.'* — (1377a 22) *καὶ ἐντεῦθεν μεταβλητέον τὸ τοῦ Ξενοφάνους καὶ ῥητέον, ὅτι ἴσον ἐστὶ καὶ προσφυὲς τὸ διδόναι μὲν τὸν ἀσεβῆ πρὸς τὸν εὐσεβῆ ὅρκον, ἐκεῖνον δὲ (τὸν εὐσεβῆ δηλαδή) λαμβάνειν. εἶπεν ἓν ἐπιχείρημα ὁ ἐνάγων τὸν ἀντεπακτὸν καταδεξάμενος τὸ ὅτι 'σοί, ὦ ἐναγόμενε, οὐ πιστεύω τὸν ὅρκον, ἀλλ' ὡς ἑαυτῷ'· τίθησι καὶ δεύτερον ἐπιχείρημα ὅτι 'ὀμόσω καὶ καλῶς ποιήσω καὶ οὐκ ἀποφύγω τὸν ὅρκον ὡς κακόν τι· μάταιος γὰρ ἂν εἴην ἐγώ, εἰ τοὺς δικαστὰς ἀναγκάζω ὀμνύειν ἀπὸ τοῦ νόμου, ἵνα δίκαια κρίνωσιν, ἐγὼ δὲ τὸν ὅρκον παραιτοῦμαι.' οἱ γὰρ δικασταὶ ὤμνυον τὸ παλαιόν, καὶ οἱ παρ' ἡμῖν κειμένων τῶν ἁγίων εὐαγγελίων ἐδίκαζον, ἀλλὰ καὶ οἱ συνήγοροι· 'δεινὸν οὖν' φησί 'τὸ μὴ θέλειν αὐτὸν τὸν ἐνάγοντα ὀμόσειν, ὑπὲρ ὧν τοὺς δικαστὰς καὶ τοὺς συνηγόρους ἀναγκάζει ὀμνύειν.'*

21 Alexander in Aristot. Metaph. 3 p. 1009b 12 (Comment. in Aristot. Gr. I 308, 10ss Hayduck)

οὕτως γάρ, φησίν, ἁρμόζει μᾶλλον περὶ αὐτῶν λέγειν, ὅτι εἰκότα μὲν λέγουσιν, οὐκ ἀληθῆ δέ, ἢ ὥσπερ Ἐπίχαρμος εἰς Ξενοφάνην, ὡς Ἐπιχάρμου τοῦ τῆς κωμῳδίας ποιητοῦ εἰς Ξενοφάνην βλασφημότερά τινα καὶ ἐπηρεαστικὰ εἰρηκότος, δι' ὧν εἰς ἀμαθίαν τινὰ καὶ ἀγνωσίαν τῶν ὄντων σκώπτων διέβαλεν αὐτόν.

22 Asclep. in Aristot. Metaph. 3 p. 1009b 33 (Comment. in Aristot. Gr. VI 278, 23ss Hayduck)

οὕτω γὰρ μᾶλλον δεῖ εἰπεῖν πρὸς αὐτοὺς ⟨ἢ⟩ ὥσπερ Ἐπίχαρμος ⟨ὁ⟩ κωμικὸς ὑβριστικῶς προῆλθεν εἰς τὸν Ξενοφάνη.

23 Gnomol. Par. p. 18, 160ss Sternbach

Ἱέρων ὁ Σικελιώτης Ξενοφάνους τοῦ Κολοφωνίου ποιητοῦ τὸν Ὅμηρον ψέγοντος ἠρώτησεν αὐτόν, πόσους οἰκέτας ἔχει· τοῦ δὲ

εἰπόντος δύο καὶ τούτους μόλις τρέφειν, 'οὐκ αἰσχύνῃ' φησὶν 'Ὅμηρον ψέγων, ὃς μετηλλαχὼς πλείονας ἢ μυρίους τρέφει;' cf. Plut. Reg. apophth. p. 175c.

Vita[1])

Diog. Laert. 9, 18ss: vid. Test. 77

De arte et doctrina

24 (Vors. 114, 16) Heraclit. 22 B 40 D.-K.

πολυμαθίη νόον ἔχειν οὐ διδάσκει· Ἡσίοδον γὰρ ἂν ἐδίδαξε καὶ Πυθαγόρην αὖτίς τε Ξενοφάνεά τε καὶ Ἑκαταῖον.

25 (Vors. 121, 13) Aristot. Metaph. 1 p. 986b 18ss

Παρμενίδης μὲν γὰρ ἔοικε τοῦ κατὰ τὸν λόγον ἑνὸς ἅπτεσθαι, Μέλισσος δὲ τοῦ κατὰ τὴν ὕλην (διὸ καὶ ὁ μὲν πεπερασμένον ὁ δ' ἄπειρόν φησιν εἶναι αὐτό)· Ξενοφάνης δὲ πρῶτος τούτων ἑνίσας (ὁ γὰρ Παρμενίδης τούτου λέγεται γενέσθαι μαθητής) οὐδὲν διεσαφήνισεν, οὐδὲ τῆς φύσεως τούτων οὐδετέρας ἔοικε θιγεῖν, ἀλλ' εἰς τὸν ὅλον οὐρανὸν ἀποβλέψας τὸ ἓν εἶναί φησι τὸν θεόν (cf. fr. 26)*· οὗτοι μὲν οὖν, καθάπερ εἴπομεν, ἀφετέοι πρὸς τὴν νῦν ζήτησιν, οἱ μὲν δύο καὶ πάμπαν ὡς ὄντες μικρὸν ἀγροικότεροι, Ξενοφάνης καὶ Μέλισσος.*

26 Alexander in Aristot. Metaph. 1 p. 984a 29 (Comment. in Aristot. Gr. I 30, 1ss Hayduck)

λέγει μὲν περὶ Ξενοφάνους καὶ Μελίσσου καὶ Παρμενίδου· οὗτοι γὰρ {τὸ} (del. Bonitz) *ἓν τὸ πᾶν ἀπεφήναντο. ἡττηθῆναι δὲ αὐτούς φησιν ὑπὸ ταύτης τῆς ζητήσεως, ὅτι ὑποθέμενοι ἓν τὸ πᾶν καὶ ζητοῦντες πῶς οἷόν τε τοῦτο τὸ ἓν ἐξ ἑαυτοῦ μεταβάλλειν, μὴ δυνάμενοι σῴζειν ἔτι αὐτὸ ἕν, εἰ μὴ ἀναιροῖεν τὰ φανερά, καὶ ταῦτα μικροῦ δεῖν ἐναργέστατα, κίνησίν τε {γὰρ}* (del. Bonitz) *καὶ μεταβολὴν ἐκ τῶν ὄντων ἀνῄρουν τῷ τούτων ὄντων μηκέτι αὐτοῖς ἓν τὸ ὂν μένειν. εἰπὼν δὲ 'τὸ ἓν ἀκίνητόν φασιν εἶναι' προσέθηκε τὸ 'καὶ τὴν φύσιν ὅλην'· ἡ γὰρ φύσις ὅλη τὸ ἓν αὐτοῖς ἦν. ὡς δὲ φανερωτέρου τοῦ ἀτόπου ὄντος τοῦ λέγειν τὴν φύσιν ὅλην ἀκίνητον, προσέθηκε τὸ ἀκίνητόν τε οὐ κατὰ*

1) Ad vitae quaestiones cf. Unterst. CCLXVss, de itineribus vid. Zeller-Mondolfo-Reale 63ss.

γένεσιν καὶ φθορὰν μόνον (καὶ γὰρ αὗται αἱ μεταβολαί, εἰ καὶ μὴ κινήσεις, ἀλλὰ κινουμένων τινῶν) ἀλλὰ καὶ κατὰ τὰς ἄλλας μεταβολὰς πάσας.

27 Alexander in Aristot. Metaph. 1 p. 986b 8 (Comment. in Aristot. Gr. I 42, 23ss Hayduck)

μετὰ δὲ τὴν τούτων ἱστορίαν μνημονεύει πάλιν τῶν ἓν τὸ ὂν εἶναι θεμένων, οὐκ ἀρχὴν μίαν, ὡς τῶν φυσικῶν τινες, ἀλλ' ὡς τοῦ παντὸς μιᾶς φύσεως οὔσης· ὧν ἦν Ξενοφάνης τε καὶ Μέλισσος καὶ Παρμενίδης. ἣν καὶ ἱστορίαν ἄχρηστον εἰς τὴν περὶ τῶν ἀρχῶν καὶ αἰτίων ζήτησίν φησιν· οὐ γὰρ ἀρχὴν οὐδ' αἴτιον τὸ ἓν ἐτίθεντο οὕτως ὡς οἱ ὕδωρ ἢ πῦρ ἢ ἀέρα λέγοντες, ἔπειτα ἐκ τούτου κινουμένου τὰ ἄλλα γεννῶντες, ἀλλὰ τὸ ὂν ἓν ἔλεγον καὶ ἀκίνητον. προσιστορεῖ δὲ καὶ τὴν διαφορὰν τὴν Μελίσσου τε καὶ Παρμενίδου περὶ τοῦ ἑνός· ὡς ἀρχὴν τὸ ἓν τίθενται, οὐδὲ ὡς αἴτιον. ἐπὶ τοσοῦτον δέ φησι χρήσιμον εἶναι καὶ τὴν τούτων ἱστορίαν, ὅτι καὶ τούτων ὁ μὲν ἐπὶ τὴν ὕλην βλέψας ἄπειρον εἶπε τὸ ὄν, ὁ δὲ ἐπὶ τὸ εἶδος πεπερασμένον· ἐν μὲν γὰρ ταῖς αἰτίαις καὶ ἡ ὕλη καὶ τὸ εἶδος, ὥστε εἰ καὶ μὴ αἴτιόν τι λέγουσιν, ἀλλὰ ἅ γε λέγουσι καὶ καθ' ἃ κινηθέντες, ἐν τοῖς κατηριθμημένοις αἰτίοις ἐστίν. Ξενοφάνην δὲ αἰτιᾶται ὡς πρῶτον μὲν τῆσδε τῆς δόξης ἀψάμενον (Παρμενίδην γὰρ τούτου μαθητὴν γενέσθαι), οὐδὲ τῆς φύσεως τούτων τινός, εἴτ' οὖν εἴδους ἢ τῆς ὕλης, ἀψάμενον, ἀλλ' εἰς τὸν ὅλον οὐρανὸν ἀποβλέψαντα καὶ ἁπλῶς ἀποφηνάμενον τὸ ἓν εἶναι τὸν θεόν (cf. fr. 26). *τὸ δὲ ἐνίσας ἴσον ἐστὶ τῷ πρῶτος ἓν εἶναι τὸ ὂν εἰπών. ἐπαινεῖ δὲ Παρμενίδην ὡς εὐλογώτερον ἐκείνων θέμενον ἓν εἶναι τὸ ὄν.*

28 Asclep. in Aristot. Metaph. 1 p. 986b 8 (Comment. in Aristot. Gr. VI 40, 23ss Hayduck)

ἕτεροι δὲ γεγόνασιν (λέγει δὲ Παρμενίδην καὶ Μέλισσον καὶ Ξενοφάνην τὸν διδάσκαλον Παρμενίδου), οἵτινες περὶ τοῦ παντὸς ὡς περὶ μιᾶς φύσεως ἀπεφήναντο. ὁ μὲν γὰρ Παρμενίδης ἔλεγεν ἓν εἶναι τὸ ὂν καὶ ἀκίνητον καὶ πεπερασμένον, ὁ δὲ Μέλισσος ἓν καὶ ἀκίνητον καὶ ἄπειρον, ὁ δὲ Ξενοφάνης ἓν μόνον.

29 Asclep. in Aristot. Metaph. 1 p. 986b 17 (Comment. in Aristot. Gr. VI 41, 26ss Hayduck)

ἱστορεῖ δὲ τὸν Ξενοφάνην πρῶτον τῆς δόξης ταύτης ἀψάμενον· ὁ γὰρ Παρμενίδης μαθητὴς τούτου ἐγένετο. διό φησι· Ξενοφάνης δὲ

πρῶτος τούτων ἑνίσας (ἀντὶ τοῦ ἓν εἰρηκώς) οὐδὲν παντελῶς διεσάφησεν, οὐδὲ τῆς φύσεως οὐδετέρας ἥψατο· οὔτε γὰρ ἄπειρον ὑπέθετο οὔτε πεπερασμένον· ἀλλ' εἰς τὸν ὅλον οὐρανὸν ἀποβλέψας (τουτέστι τὸν κόσμον) τὸ ἓν εἶναί φησι τὸν θεόν... οἱ μὲν δύο καὶ παντελῶς, ὡς ὄντες μικρὸν ἀγροικότεροι, διότι οὐ συνελογίζοντο δεόντως. λέγει δὲ τὸν Ξενοφάνην καὶ τὸν Μέλισσον.

30 Asclep. in Aristot. Metaph. 1 p. 988b 29 (Comment. in Aristot. Gr. VI 57, 28ss Hayduck)

γῆν γὰρ μόνην αὐτὴν καθ' αὑτὴν οὐδεὶς ὑπέθετο (ὁ γὰρ Ξενοφάνης [immo *Παρμενίδης* Hayduck] *γῆν καὶ πῦρ ὑπετίθετο ἀρχὰς τῶν ὄντων), διότι παχύτερόν ἐστιν ἡ γῆ καὶ οὐκ ἐπιτηδεία πρὸς γένεσιν.*

31 Simplic. in Aristot. Phys. Prooemium (Comment. in Aristot. Gr. IX 7, 1ss Die.)

Ξενοφάνης δὲ ὁ Κολοφώνιος καὶ ὁ τούτου μαθητὴς Παρμενίδης καὶ οἱ Πυθαγόρειοι τελεωτάτην μὲν περί τε τῶν φυσικῶν καὶ τῶν ὑπὲρ τὴν φύσιν, ἀλλ' αἰνιγματώδη τὴν ἑαυτῶν φιλοσοφίαν παραδεδώκασιν.

32 Simplic. in Aristot. Phys. 1 p. 184b 15 (Comment. in Aristot. Gr. IX 21, 15ss Die.)

οἱ γὰρ περὶ τὰς ἀρχὰς φιλοσοφοῦντες ὡς ὄντων ἀρχὰς ἐζήτουν, καὶ οἱ μὲν ἀδιορίστως, οὐ διακρίνοντες τὰ φυσικὰ ἀπὸ τῶν ὑπὲρ φύσιν, οἱ δὲ διακρίνοντες μέν, ὥσπερ οἵ τε Πυθαγόρειοι καὶ Ξενοφάνης καὶ Παρμενίδης καὶ Ἐμπεδοκλῆς καὶ Ἀναξαγόρας, τῇ δὲ ἀσαφείᾳ λανθάνοντες τοὺς πολλούς.

33 (Vors. 121, 20 et cf. Dox. 480, 4) Simplic. in Aristot. Phys. 1 p. 184b 15 (Comment. in Aristot. Gr. IX 22, 22ss Die.)

(1) *ἀνάγκη τοίνυν τὴν ἀρχὴν ἢ μίαν εἶναι ἢ οὐ μίαν, ταὐτὸν δὲ εἰπεῖν πλείους, καὶ εἰ μίαν, ἤτοι ἀκίνητον ἢ κινουμένην, καὶ εἰ ἀκίνητον, ἤτοι ἄπειρον, ὡς Μέλισσος ὁ Σάμιος δοκεῖ λέγειν, ἢ πεπερασμένην, ὡς Παρμενίδης Πύρητος Ἐλεάτης, οὐ περὶ φυσικοῦ στοιχείου λέγοντες οὗτοι, ἀλλὰ περὶ τοῦ ὄντως ὄντος.* (2) *μίαν δὲ τὴν ἀρχὴν ἤτοι ἓν τὸ ὂν καὶ πᾶν καὶ οὔτε πεπερασμένον οὔτε ἄπειρον οὔτε κινούμενον οὔτε ἠρεμοῦν Ξενοφάνην τὸν Κολοφώνιον τὸν Παρμενίδου διδάσκαλον ὑποτίθεσθαί φησιν ὁ Θεόφραστος* (fr. 45 Wimmer) *ὁμολογῶν*

ἑτέρας εἶναι μᾶλλον ἢ τῆς περὶ φύσεως ἱστορίας τὴν μνήμην τῆς τούτου δόξης. (3) *τὸ γὰρ ἓν τοῦτο καὶ πᾶν τὸν θεὸν ἔλεγεν ὁ Ξενοφάνης, ὃν ἕνα μὲν δείκνυσιν ἐκ τοῦ πάντων κράτιστον εἶναι. πλειόνων γάρ, φησίν, ὄντων ὁμοίως ὑπάρχειν ἀνάγκη πᾶσι τὸ κρατεῖν· τὸ δὲ πάντων κράτιστον καὶ ἄριστον θεός* (cf. fr. 26). (4) *ἀγένητον δὲ ἐδείκνυεν ἐκ τοῦ δεῖν τὸ γινόμενον ἢ ἐξ ὁμοίου ἢ ἐξ ἀνομοίου γίνεσθαι. ἀλλὰ τὸ μὲν ὅμοιον ἀπαθές φησιν ὑπὸ τοῦ ὁμοίου· οὐδὲν γὰρ μᾶλλον γεννᾶν ἢ γεννᾶσθαι προσήκει τὸ ὅμοιον ἐκ τοῦ ὁμοίου· εἰ δὲ ἐξ ἀνομοίου γίνοιτο, ἔσται τὸ ὂν ἐκ τοῦ μὴ ὄντος. καὶ οὕτως ἀγένητον καὶ ἀίδιον ἐδείκνυ.* (5) *οὔτε δὲ ἄπειρον οὔτε πεπερασμένον εἶναι, διότι ἄπειρον μὲν τὸ μὴ ὂν ὡς οὔτε ἀρχὴν ἔχον οὔτε μέσον οὔτε τέλος, περαίνειν δὲ πρὸς ἄλληλα τὰ πλείω.* (6) *παραπλησίως δὲ καὶ τὴν κίνησιν ἀφαιρεῖ καὶ τὴν ἠρεμίαν. ἀκίνητον μὲν γὰρ εἶναι τὸ μὴ ὄν· οὔτε γὰρ ἂν εἰς αὐτὸ ἕτερον οὔτε αὐτὸ πρὸς ἄλλο ἐλθεῖν· κινεῖσθαι δὲ τὰ πλείω τοῦ ἑνός· ἕτερον γὰρ εἰς ἕτερον μεταβάλλειν,* (7) *ὥστε καὶ ὅταν ἐν ταὐτῷ μένειν λέγῃ καὶ μὴ κινεῖσθαι* [fr. 29], *οὐ κατὰ τὴν ἠρεμίαν τὴν ἀντικειμένην τῇ κινήσει μένειν αὐτό φησιν, ἀλλὰ κατὰ τὴν ἀπὸ κινήσεως καὶ ἠρεμίας ἐξῃρημένην μονήν.* (8) *Νικόλαος δὲ ὁ Δαμασκηνὸς ὡς ἄπειρον καὶ ἀκίνητον λέγοντος αὐτοῦ τὴν ἀρχὴν ἐν τῇ Περὶ θεῶν ἀπομνημονεύει, Ἀλέξανδρος δὲ ὡς πεπερασμένον αὐτὸ καὶ σφαιροειδές.* (9) *ἀλλ' ὅτι μὲν οὔτε ἄπειρον οὔτε πεπερασμένον αὐτὸ δείκνυσιν, ἐκ τῶν προειρημένων δῆλον· πεπερασμένον δὲ καὶ σφαιροειδὲς αὐτὸ διὰ τὸ πανταχόθεν ὅμοιον λέγει. καὶ πάντα νοεῖν δέ φησιν αὐτὸ λέγων* [fr. 28].

34 Simplic. in Aristot. Phys. 1 p. 184b 15 (Comment. in Aristot. Gr. IX 29, 5ss Die.)

καὶ γὰρ οἱ μὲν περὶ τῆς νοητῆς καὶ πρώτης ἀρχῆς διελέχθησαν, ὡς Ξενοφάνης τε καὶ Παρμενίδης καὶ Μέλισσος, ὁ μὲν Ξενοφάνης καὶ Παρμενίδης ἓν λέγοντες καὶ πεπερασμένον. ἀνάγκη γὰρ τὸ ἓν τοῦ πλήθους προϋπάρχειν καὶ τὸ πᾶσιν ὅρου καὶ πέρατος αἴτιον κατὰ τὸ πέρας μᾶλλον ἤπερ κατὰ τὴν ἀπειρίαν ἀφορίζεσθαι καὶ τὸ πάντῃ τέλειον τὸ τέλος τὸ οἰκεῖον ἀπειληφὸς πεπερασμένον εἶναι, μᾶλλον δὲ τέλος τῶν πάντων, ὡς καὶ ἀρχή· τὸ γὰρ ἀτελὲς ἐνδεὲς ὂν οὔπω πέρας ἀπείληφεν. πλὴν ὁ μὲν Ξενοφάνης ὡς πάντων αἴτιον καὶ πάντων ὑπερανέχον καὶ κινήσεως αὐτὸ καὶ ἠρεμίας καὶ ὡς πάσης ἀντιστοιχίας ἐπέκεινα τίθησιν, ὥσπερ καὶ ὁ Πλάτων ἐν τῇ πρώτῃ ὑποθέσει Παρμενίδου.

35 Simplic. in Aristot. Phys. 1 p. 184b 15 (Comment. in Aristot. Gr. IX 36, 26ss Die.)

ἐπειδὴ δὲ καὶ Ἀριστοτέλους ἐλέγχοντος ἀκουσόμεθα τὰς τῶν προτέρων φιλοσόφων δόξας καὶ πρὸ τοῦ Ἀριστοτέλους ὁ Πλάτων τοῦτο φαίνεται ποιῶν καὶ πρὸ ἀμφοῖν ὅ τε Παρμενίδης καὶ Ξενοφάνης, ἰστέον ὅτι τῶν ἐπιπολαιότερον ἀκροωμένων οὗτοι κηδόμενοι τὸ φαινόμενον ἄτοπον ἐν τοῖς λόγοις αὐτῶν διελέγχουσιν, αἰνιγματωδῶς εἰωθότων τῶν παλαιῶν τὰς ἑαυτῶν ἀποφαίνεσθαι γνώμας.

36 Philopon. in Aristot. Phys. 1 p. 184b 15 (Comment. in Aristot. Gr. XVI 21, 22ss Vitelli)

μίαν μὲν οὖν ἀρχὴν εἶναι καὶ ἀκίνητον καὶ πεπερασμένην ἐδόξασε Παρμενίδης καὶ Ξενοφάνης. δῆλον δέ που πάντως ὅτι περὶ τῶν φυσικῶν πραγμάτων ἦν τούτοις ὁ λόγος· ὡς γὰρ καὶ αὐτὸς ὁ Ἀριστοτέλης ἐν τοῖς Μετὰ τὰ φυσικὰ εἶπεν, οὐχ οὕτω καὶ τῶν μαινομένων χειρόνως διέκειντο οἱ ἄνδρες οὗτοι, ὡς νομίζειν τὸ πῦρ καὶ τὸ ὕδωρ μὴ εἶναι διάφορον· καὶ ἐξ αὐτῆς δὲ τῆς Ἀριστοτελικῆς ῥήσεως πρόδηλον ὡς οὐ φυσικοὶ οἱ ἄνδρες οὗτοι ... μίαν μὲν οὖν καὶ πεπερασμένην καὶ ἀκίνητον Παρμενίδης ἔλεγε καὶ Ξενοφάνης, μίαν δὲ καὶ ἀκίνητον καὶ {ἄπειρον} (del. Vitelli) *ὁ Μέλισσος περὶ τῶν αὐτῶν καὶ αὐτός, ὡς ἤδη εἶπον, διαλεγόμενος.*

37 (Vors. 125, 25) Aristot. De caelo 2 p. 294 a 21ss

οἱ μὲν γὰρ διὰ ταῦτα ἄπειρον τὸ κάτω τῆς γῆς εἶναί φασιν, ἐπ' ἄπειρον αὐτὴν ἐρριζῶσθαι λέγοντες, ὥσπερ Ξενοφάνης ὁ Κολοφώνιος (cf. fr. 30), *ἵνα μὴ πράγματ' ἔχωσι ζητοῦντες τὴν αἰτίαν.* cf. Diogen. Oen. fr. 20, 10 (35 Chilton), Basil. Hom. 1 in Hexaem. (124 Giet) et Test. 40; 48; 53; 54; 86.

38 Themist. De caelo 2 p. 294a (126, 34ss Landauer)

nonnulli enim propositam dubitationem ita dissolvere conantur, aiunt namque terram secundum se quiescentem remanere, quoniam supra se ipsa sustentatur per spatium infinitum, quemadmodum inquit Xenophanes. hi enim dubitationem hunc ad modum sustulerunt, ob eorum segnitiem, quia, cum causae inquisitionem non dilexissent, ideo veritatem indagandi laborem subire minime voluere.

39 Simplic. in Aristot. De caelo 2 p. 294a 11 (Comment. in Aristot. Gr. VII 520, 22ss Heiberg)

ἱστορήσας πρότερον τάς τε περὶ τῆς θέσεως τῆς γῆς καὶ τῆς κινήσεως καὶ τοῦ σχήματος αὐτῆς δόξας καὶ πρὸς ὀλίγα ἀντειπών, τῶν δὲ πολλῶν ὡς ἀπεμφαινόντων καταφρονήσας μετάγει τὸν λόγον λοιπὸν ἐπὶ τοὺς μένειν μὲν τὴν γῆν λέγοντας, τὴν δὲ αἰτίαν τῆς μονῆς οὐ καλῶς ἀποδιδόντας. καὶ πρῶτον μνημονεύει τῶν μένειν λεγόντων διὰ τὸ ἄπειρον αὐτὴν εἶναι, ὥσπερ Ξενοφάνης ὁ Κολοφώνιος, δεύτερον δὲ τῶν ἐφ' ὕδατος ὀχουμένην μένειν, ὡς Θαλῆς ὁ Μιλήσιος, τρίτον δὲ ...

40 (Vors. 125, 28) Simplic. in Aristot. De caelo 2 p. 294a 21 (Comment. in Aristot. Gr. VII 522, 7ss Heiberg)

ἀγνοῶ δὲ ἐγὼ τοῖς Ξενοφάνους ἔπεσι τοῖς περὶ τούτου μὴ ἐντυχών, πότερον τὸ κάτω μέρος τῆς γῆς ἄπειρον εἶναι λέγων διὰ τοῦτο μένειν αὐτήν φησιν ἢ τὸν ὑποκάτω τῆς γῆς τόπον καὶ αἰθέρα ἄπειρον καταφερομένην τὴν γῆν δοκεῖν ἠρεμεῖν. οὔτε γὰρ ὁ Ἀριστοτέλης διεσάφησεν οὔτε τὰ Ἐμπεδοκλέους ἔπη διορίζει σαφῶς· 'γῆς' γὰρ 'βάθη' λέγοιτο ἂν καὶ ἐκεῖνα εἰς ἃ κάτεισιν.

41 Georg. Pachymer. In universam fere Aristotelis philosophiam Epitome ... (e Graeco in Latinum sermonem ... conversa a D. Philippo Becchio, Basileae 1560, 118)

Xenophanes autem Colophonius propter quietem et stabilitatem id quod deorsum vergit in terra infinitum esse ait.

42 Georg. Pachymer. In universam etc. 268

Xenophanes autem sine omni integumento ac involucro unum illud deum est effatus.

43 Ps.-Aristot. De Mel. Xenoph. Gorgia 2 p. 976a 31ss

⟨ἔτι⟩ (suppl. Wilson) *τί κωλύει καὶ πλείω ὄντα ἑνὸς μεγέθει ἄπειρα εἶναι; ὡς καὶ Ξενοφάνης ἄπειρον τό τε βάθος τῆς γῆς καὶ τοῦ ἀέρος φησὶν εἶναι. δηλοῖ δὲ καὶ ὁ Ἐμπεδοκλῆς* (31 B 39 D.-K.).

44 (Vors. 491, 8) Philodem. De Epicuro ⟨A ?⟩ B. ap. D. Bassi, Miscellanea Ceriani, Milano 1910, 525

πε]ρὶ Κυζικηνοῦ τινος ἀστρολόγου [γε]ωμέτρου παρίστησιν ⟨Ξεν⟩οφ⟨άνε⟩ι (suppl. Vogliano) *καὶ τοῖς π[ερὶ τ]ὸν Ἰδ[ο]μενέα καὶ [Λεο]ντέα πορρωτέρω προβαίνουσι περὶ [τῆ]ς ἀναιρέσεως κτλ.*

45 Cic. Luc. 14

similiter vos cum perturbare ut illi rem publicam sic vos philosophiam bene iam constitutam velitis, Empedoclen Anaxagoran Democritum Parmeniden Xenophanen, Platonem etiam et Socratem profertis.

46 (Vors. 116, 25) Cic. Luc. 74

Parmenides Xenophanes minus bonis quamquam versibus (*scil.* quam Empedocles) sed tamen ⟨et⟩ (*suppl. Rüstow*) illi versibus increpant eorum adrogantiam quasi irati, qui cum sciri nihil possit audeant se scire dicere.

47 (Vors. 114, 18) Cic. Luc. 118

Xenophanes paulo etiam antiquior (*scil.* quam Anaxagoras) unum esse omnia (*scil.* dixit), neque id esse mutabile, et id esse deum neque natum umquam et sempiternum, conglobata figura.

48 (Vors. 125, 37) Cic. Luc. 122s

sed ecquid nos eodem modo rerum naturas persecare, aperire, dividere possumus, ut videamus terra penitusne defixa sit et quasi radicibus suis haereat an media pendeat. habitari ait Xenophanes (*pro* Anaxagoras, *ut suspicatur Die.*) in luna, eamque esse terram multarum urbium et montium.
cf. etiam Lactant. Inst. epit. 34.

49 Cic. Luc. 129

Megaricorum fuit nobilis disciplina, cuius ut scriptum video princeps Xenophanes quem modo nominavi, deinde eum secuti Parmenides et Zeno (itaque ab is Eleatici philosophi nominabantur), post Euclides Socratis discipulus Megareus, a quo idem illi Megarici dicti, qui id bonum solum esse dicebant quod esset unum et simile et idem semper.

50 Cic. De nat. deor. 1, 28

tum Xenophanes, qui mente adiuncta omne, praeterea quod esset infinitum, deum voluit esse, de ipsa mente item reprehendetur ut ceteri, de infinitate autem vehementius, in qua nihil neque sentiens neque coniunctum potest esse (cf. De divin. 2, 33).

51 Cic. De divin. 1, 87

dixi de Pythagora, de Democrito, de Socrate, excepi de antiquis praeter Xenophanem neminem.

52 Varro ap. Anonym. Contra philosophos III 1040 (173 Aschoff)

sicut Xenophanes scribit 'quid putem, non quid contendam ponam. hominis est enim haec opinari, dei scire.'
cf. Test. 103 et fr. 35.

53 (Vors. 125, 34; Dox. 376, 14) Aët. 3, 9, 4

Ξενοφάνης ἐκ τοῦ κατωτέρω μέρους εἰς ἄπειρον {μέρος} (del. Die.) *ἐρριζῶσθαι* (scil. *τὴν γῆν*), *ἐξ ἀέρος δὲ καὶ πυρὸς συμπαγῆναι.*

54 (Vors. 125, 36; Dox. 377, 7 et 633, 4) Aët. 3, 11, 1

οἱ ἀπὸ Θάλεω τὴν γῆν μέσην, Ξενοφάνης πρώτην· εἰς ἄπειρον γὰρ ἐρριζῶσθαι.

55 (Vors. 115, 37) Strab. 14, 1, 28 p. 643

ἄνδρες δ' ἐγένοντο Κολοφώνιοι τῶν μνημονευομένων Μίμνερμος (Test. 4)... *καὶ Ξενοφάνης ὁ φυσικός, ὁ τοὺς Σίλλους ποιήσας διὰ ποιημάτων.*

56 Vitruv. Archit. 7, 155

namque si non ita fecissent, non potuissemus scire, quae res in Troia fuissent gestae ..., nec quid Thales, Democritus, Anaxagoras, Xenophanes reliquique physici sensissent de rerum natura, quasque Socrates, Platon, Aristoteles, Zenon, Epicurus aliique philosophi hominibus agendae vitae terminationes finissent.

57 Probus ad Verg. Buc. 6, 31 (343, 21ss Hagen)

sunt qui binis principiis mundum discriminent. nam Xenophanes Colophonius terram et aquam prodidit (cf. fr. 31; 34 et Test. 59; 65; 71; 88; 99; 100).

58 Plut. De Pyth. orac. 18 p. 402e

οὐδὲ γὰρ φιλοσοφίαν ἀπογιγνώσκομεν ὡς ἀνῃρημένην παντάπασι καὶ διεφθορυῖαν, ὅτι πρότερον μὲν ἐν ποιήμασιν ἐξέφερον οἱ φιλόσοφοι τὰ

δόγματα καὶ τοὺς λόγους, ὥσπερ Ὀρφεὺς καὶ Ἡσίοδος καὶ Παρμενίδης καὶ Ξενοφάνης καὶ Ἐμπεδοκλῆς καὶ Θαλῆς.

59 Ps.-Plut. Vit. Hom. 93 (VII 379 Bern.)

μετ' ἐκεῖνον (i. e. *Ὅμηρον*) *δὲ Ξενοφάνης ὁ Κολοφώνιος ὑφιστάμενος τὰς πρώτας ἀρχὰς εἶναι τὸ ὕδωρ καὶ τὴν γῆν ἐκ τῶν Ὁμηρικῶν τούτων* (*Η* 99).

60 (Vors. 122, 15; Dox. 580, 6) Ps.-Plut. Strom. 4s (= Euseb. Praep. Ev. 1, 8, 4)

Ξενοφάνης δὲ ὁ Κολοφώνιος, ἰδίαν τινὰ ὁδὸν πεπορευμένος καὶ παρηλλαχυῖαν πάντας τοὺς προειρημένους, οὔτε γένεσιν οὔτε φθορὰν ἀπολείπει, ἀλλ' εἶναι λέγει τὸ πᾶν ἀεὶ ὅμοιον. εἰ γὰρ γίγνοιτο τοῦτο, φησίν, ἀναγκαῖον πρὸ τούτου μὴ εἶναι· τὸ μὴ ὂν δὲ οὐκ ἂν γένοιτο οὐδ' ἂν τὸ μὴ ὂν ποιήσαι τι οὔτε ὑπὸ τοῦ μὴ ὄντος γένοιτ' ἄν τι. ἀποφαίνεται δὲ καὶ τὰς αἰσθήσεις ψευδεῖς καὶ καθόλου σὺν αὐταῖς καὶ αὐτὸν τὸν λόγον διαβάλλει. ἀποφαίνεται δὲ καὶ τῷ χρόνῳ καταφερομένην συνεχῶς καὶ κατ' ὀλίγον τὴν γῆν εἰς τὴν θάλασσαν χωρεῖν. φησὶ δὲ καὶ τὸν ἥλιον ἐκ μικρῶν καὶ πλειόνων πυριδίων ἀθροίζεσθαι. ἀποφαίνεται δὲ καὶ περὶ θεῶν ὡς οὐδεμιᾶς ἡγεμονίας ἐν αὐτοῖς οὔσης· οὐ γὰρ ὅσιον δεσπόζεσθαί τινα τῶν θεῶν· ἐπιδεῖσθαί τε μηδενὸς αὐτῶν μηδένα μηδ' ὅλως· ἀκούειν δὲ καὶ ὁρᾶν καθόλου καὶ μὴ κατὰ μέρος (cf. fr. 27). *ἀποφαίνεται δὲ καὶ τὴν γῆν ἄπειρον εἶναι καὶ κατὰ πᾶν μέρος μὴ περιέχεσθαι ὑπὸ ἀέρος· γίνεσθαι δὲ ἅπαντα ἐκ γῆς* (cf. fr. 23)· *τὸν δὲ ἥλιόν φησι καὶ τὰ ἄστρα ἐκ τῶν νεφῶν γίνεσθαι. Παρμενίδης δὲ ὁ Ἐλεάτης ὁ ἑταῖρος Ξενοφάνους ἅμα μὲν καὶ τῶν τούτου δοξῶν ἀντεποιήσατο κτλ.*

61 Aristocl. π. φιλοσοφίας 7 (= Euseb. Praep. Ev. 11, 3, 1)

Ξενοφάνης δὲ καὶ οἱ ἀπ' ἐκείνου τοὺς ἐριστικοὺς κινήσαντες λόγους πολὺν μὲν ἐνέβαλον ἴλιγγον τοῖς φιλοσόφοις, οὐ μὴν ἐπόρισάν γέ τινα βοήθειαν.

62 (Vors. 126, 6) Aristocl. π. φιλοσοφίας 8 (= Euseb. Praep. Ev. 14, 17, 1)

οἴονται γὰρ δεῖν τὰς μὲν αἰσθήσεις καὶ τὰς φαντασίας καταβάλλειν, αὐτῷ δὲ μόνον τῷ λόγῳ πιστεύειν· τοιαῦτα γάρ τινα πρότερον μὲν Ξενοφάνης καὶ Παρμενίδης καὶ Ζήνων καὶ Μέλισσος ἔλεγον, ὕστε-

ρον δ' οἱ περὶ Στίλπωνα καὶ τοὺς Μεγαρικούς. ὅθεν ἠξίουν οὗτοί γε τὸ ὂν ἓν εἶναι καὶ τὸ ἕτερον μὴ εἶναι μηδὲ γεννᾶσθαί τι μηδὲ φθείρεσθαι μηδὲ κινεῖσθαι τὸ παράπαν.

63 (Vors. 123, 28) Timon fr. 60, 1 Die.

Ξεινοφάνης θ' ὑπάτυφος, Ὁμηραπάτης ἐπικόπτης,
ἕα, τὸν ἀπ' ἀνθρώπων θεὸν ἐπλάσατ' ἶσον ἁπάντῃ
⟨ἀτρεμῆ⟩ (suppl. Die.) *ἀσκηθῆ νοερώτερον ἠὲ νόημα.*

cf. Test. 77 et vid. Sext. Empir. Pyrrh. hypot. 1, 224.

64 Athen. 14, 632d

ὅτι δὲ πρὸς τὴν μουσικὴν οἰκειότατα διέκειντο οἱ ἀρχαῖοι δῆλον καὶ ἐξ Ὁμήρου· ὃς διὰ τὸ μεμελοποιηκέναι πᾶσαν ἑαυτοῦ τὴν ποίησιν ἀφροντιστὶ πολλοὺς ἀκεφάλους ποιεῖ στίχους καὶ λαγαρούς, ἔτι δὲ μειούρους. Ξενοφάνης δὲ καὶ Σόλων (Test. 715 M.) *καὶ Θέογνις καὶ Φωκυλίδης* (Test. 11), *ἔτι δὲ Περίανδρος ὁ Κορίνθιος ἐλεγειοποιὸς καὶ τῶν λοιπῶν οἱ μὴ προσάγοντες πρὸς τὰ ποιήματα μελῳδίαν ἐκπονοῦσι τοὺς στίχους τοῖς ἀριθμοῖς καὶ τῇ τάξει τῶν μέτρων καὶ σκοποῦσιν ὅπως αὐτῶν μηθεὶς ⟨μήτε⟩* (suppl. Mein.) *ἀκέφαλος ἔσται μήτε λαγαρὸς μήτε μείουρος.*

65 Sext. Empir. Pyrrh. hypot. 3, 30 (e Theophrasto)

συντόμως δὲ καὶ περὶ τῶν ὑλικῶν καλουμένων ἀρχῶν λεκτέον... Φερεκύδης μὲν γὰρ ὁ Σύριος γῆν εἶπε τὴν πάντων εἶναι ἀρχήν, Θαλῆς δὲ..., Ξενοφάνης δὲ ὁ Κολοφώνιος γῆν καὶ ὕδωρ... (cf. fr. 34).

66 Sext. Empir. Pyrrh. hypot. 3, 218

καὶ τῶν εἶναι θεοὺς ἀποφηναμένων οἱ μὲν τοὺς πατρίους νομίζουσι θεούς, οἱ δὲ τοὺς ἐν ταῖς δογματικαῖς αἱρέσεσιν ἀναπλασσαμένους, ὡς Ἀριστοτέλης μὲν..., Ξενοφάνης δὲ σφαῖραν ἀπαθῆ.

67 Sext. Empir. Adv. math. 7, 47ss

πολλαὶ μὲν οὖν καὶ ποικίλαι διαιρέσεις φέρονται κατὰ τὸν τόπον· ἀλλ' ἡμῖν ἀπόχρη πρὸς τὸ παρὸν λέγειν, ὅτι μὲν οἱ μὲν ἀνεῖλον τὸ κριτήριον, οἱ δὲ ἀπέλιπον. καὶ τῶν ἀπολιπόντων τρεῖς αἱ ἀνωτάτω γεγόνασι στάσεις· οἱ μὲν γὰρ ἐν λόγῳ τοῦτο ἀπέλιπον, οἱ δὲ ἐν ταῖς ἀλόγοις ἐναργείαις, οἱ δὲ ἐν ἀμφοτέροις. καὶ δὴ ἀνεῖλον μὲν αὐτὸ Ξενοφάνης τε ὁ Κολοφώνιος καὶ Ξενιάδης ... καὶ Ἀνάχαρσις... (vid. Test. (I) fr. 35). (50) *ἀμφὶ θεῶν δὲ ὑποδειγματικῶς περί τινος τῶν ἀδήλων, δόκον δὲ τὴν δόκησιν καὶ τὴν δόξαν.* (51) *ὥστε τοιοῦτον εἶναι κατὰ*

ἐξάπλωσιν τὸ ὑπ' αὐτοῦ λεγόμενον 'τὸ μὲν οὖν ἀληθὲς καὶ γνώριμον οὐθεὶς ἄνθρωπος οἶδε, τό γε ἐν τοῖς ἀδήλοις πράγμασιν· κἂν γὰρ ἐκ τύχης ἐπιβάλλῃ τούτῳ, ὅμως οὐκ οἶδεν ὅτι ἐπιβέβληκεν αὐτῷ, ἀλλ' οἴεται καὶ δοκεῖ' (cf. fr. 35) . . . (52) *οὗτος μὲν δὴ οὔ φησιν εἶναι κριτήριον ἀληθείας διὰ τὸ μηδὲν εἶναι καταληπτὸν ἐν τῇ φύσει τῶν ζητουμένων.*

68 Sext. Empir. Adv. math. 7, 53

Ξενιάδης δὲ ὁ Κορίνθιος, οὗ καὶ Δημόκριτος μέμνηται, πάντ' εἰπὼν ψευδῆ, καὶ ἐκ τοῦ μὴ ὄντος πᾶν τὸ γινόμενον γίνεσθαι, καὶ εἰς τὸ μὴ ὂν πᾶν τὸ φθειρόμενον φθείρεσθαι, δυνάμει τῆς αὐτῆς ἔχεται τῷ Ξενοφάνει στάσεως.

69 Sext. Empir. Adv. math. 7, 110

ταῦτα μὲν οἱ Πυθαγορικοί· Ξενοφάνης δὲ κατὰ τοὺς ὡς ἑτέρους αὐτὸν ἐξηγουμένους, ὅταν λέγῃ· [fr. 35], *φαίνεται μὴ πᾶσαν κατάληψιν ἀναιρεῖν, ἀλλὰ τὴν ἐπιστημονικήν τε καὶ ἀδιάπτωτον.*

70 Sext. Empir. Adv. math. 8, 325s

ὥσπερ γὰρ τούτων εἰκός ἐστι τινὰ μὲν τυχεῖν τοῦ σκοποῦ, τινὰ δ' ἀποτυχεῖν, τὸ δὲ τίς ἐπέτυχεν ἢ ἀπέτυχεν ἄγνωστον, οὕτως ἐν βαθεῖ σχεδὸν σκότῳ τῆς ἀληθείας ἀποκεκρυμμένης ἀφίενται μὲν ἐπὶ ταύτην πολλοὶ λόγοι, τὸ δὲ τίς ἐξ αὐτῶν σύμφωνός ἐστιν αὐτῇ καὶ τίς διάφωνος, οὐχ οἷόν τε γινώσκειν, ἀρθέντος ἐκ τῆς ἐναργείας τοῦ ζητουμένου. καὶ τοῦτο πρῶτον εἶπε Ξενοφάνης· [fr. 35], *ὥστε εἰ μὲν τὸ πρόδηλον διὰ τὴν προειρημένην αἰτίαν ἐστὶ σύμφωνον, τὸ δὲ ἄδηλον διαπεφώνηται, δεήσει καὶ τὴν ἀπόδειξιν διαφωνουμένην ἄδηλον εἶναι.*

71 Sext. Empir. Adv. math. 9, 361

οἱ μὲν γὰρ σώματα ἔλεξαν εἶναι τὰ τῶν ὄντων στοιχεῖα, οἱ δὲ ἀσώματα. καὶ τῶν σώματα φαμένων Φερεκύδης μὲν ὁ Σύριος γῆν ἔλεξε πάντων εἶναι ἀρχὴν καὶ στοιχεῖον . . ., Ξενοφάνης δὲ ὕδωρ καὶ γῆν (cf. fr. 34).

72 Diog. Laert. 1, 15

ἡ δὲ Ἰταλικὴ οὕτω· Φερεκύδους Πυθαγόρας, οὗ Τηλαύγης ὁ υἱός, οὗ Ξενοφάνης, οὗ Παρμενίδης, οὗ Ζήνων ὁ Ἐλεάτης κτλ.

73 Diog. Laert. 1, 16

πολλὰ δὲ Ζήνων, πλείω Ξενοφάνης . . ., πλείω Χρύσιππος (scil. *συνέγραψαν*).

74 Diog. Laert. 2, 46

ἀποθανόντι δὲ (scil. *Ὁμήρῳ ἐφιλονίκει*) *Ξενοφάνης ὁ Κολοφώνιος καὶ Κέρκωψ Ἡσιόδῳ ζῶντι, τελευτήσαντι δὲ ὁ προειρημένος Ξενοφάνης*:

75 Diog. Laert. 8, 56

Ἕρμιππος (fr. 26 Wehrli) *δὲ οὐ Παρμενίδου, Ξενοφάνους δὲ γεγονέναι ζηλωτήν* (scil. *τὸν Ἐμπεδοκλέα*), *ᾧ καὶ συνδιατρῖψαι καὶ μιμήσασθαι τὴν ἐποποιίαν*.

76 Diog. Laert. 9, 5

Σωτίων δέ φησιν εἰρηκέναι τινὰς Ξενοφάνους αὐτὸν (scil. *Ἡράκλειτον*) *ἀκηκοέναι*.

77 (Vors. 113, 11) Diog. Laert. 9, 18ss

(18) *Ξενοφάνης Δεξίου ἤ, ὡς Ἀπολλόδωρος* (FGrHist 244 F 68a), *Ὀρθομένους Κολοφώνιος ἐπαινεῖται πρὸς τοῦ Τίμωνος· φησὶ γοῦν* (fr. 60 Die.; vid. Test. 63; 64) *'Ξεινοφάνη θ' ὑπάτυφον, Ὁμηραπάτην ἐπικόπτην'. οὗτος ἐκπεσὼν τῆς πατρίδος ἐν Ζάγκλῃ τῆς Σικελίας* ** (lacunam statuit Die. qui suo iudicio sic supplevit ⟨*διέτριβε καὶ τῆς εἰς Ἐλέαν ἀποικίας κοινωνήσας ἐδίδασκεν ἐκεῖ*⟩), *διέτριβε δὲ καὶ ἐν Κατάνῃ. διήκουσε δὲ κατ' ἐνίους μὲν οὐδενός, κατ' ἐνίους δὲ Βότωνος Ἀθηναίου, ἤ, ὥς τινες, Ἀρχελάου. καί, ὡς Σωτίων φησί* (= Lobon De poetis fr. 17), *κατ' Ἀναξίμανδρον ἦν. γέγραφε δὲ ἐν ἔπεσι καὶ ἐλεγείας καὶ ἰάμβους καθ' Ἡσιόδου καὶ Ὁμήρου, ἐπικόπτων αὐτῶν τὰ περὶ θεῶν εἰρημένα. ἀλλὰ καὶ αὐτὸς ἐρραψῴδει τὰ ἑαυτοῦ. ἀντιδοξάσαι τε λέγεται Θαλῇ καὶ Πυθαγόρᾳ* (cf. fr. 6), *καθάψασθαι δὲ καὶ Ἐπιμενίδου. μακροβιώτατός τε γέγονεν, ὥς που καὶ αὐτός φησιν·* [fr. 7].

(19) *φησὶ δὲ τέτταρα εἶναι τῶν ὄντων στοιχεῖα, κόσμους δ' ἀπείρους, οὐ παραλλακτοὺς δέ. τὰ νέφη συνίστασθαι τῆς ἀφ' ἡλίου ἀτμίδος ἀναφερομένης καὶ αἰρούσης αὐτὰ εἰς τὸ περιέχον. οὐσίαν θεοῦ σφαιροειδῆ, μηδὲν ὅμοιον ἔχουσαν ἀνθρώπῳ· ὅλον δὲ ὁρᾶν καὶ ὅλον ἀκούειν* (cf. fr. 27), *μὴ μέντοι ἀναπνεῖν· σύμπαντά τε εἶναι νοῦν καὶ φρόνησιν καὶ ἀίδιον. πρῶτός τε ἀπεφήνατο, ὅτι πᾶν τὸ γινόμενον φθαρτόν ἐστι καὶ ἡ ψυχὴ πνεῦμα.*

ἔφη δὲ καὶ τὰ πολλὰ ἥσσω νοῦ εἶναι (cf. fr. 28). *καὶ τοῖς τυράννοις ἐντυγχάνειν ἢ ὡς ἥκιστα ἢ ὡς ἥδιστα.* (20) *Ἐμπεδοκλέους δὲ εἰπόντος*

(cf. 31 A 20) *αὐτῷ ὅτι ἀνεύρετός ἐστιν ὁ σοφός, 'εἰκότως', ἔφη, 'σοφὸν γὰρ εἶναι δεῖ τὸν ἐπιγνωσόμενον τὸν σοφόν'. φησὶ δὲ Σωτίων πρῶτον αὐτὸν εἰπεῖν ἀκατάληπτα εἶναι τὰ πάντα* (cf. fr. 35), *πλανώμενος*.

ἐποίησε δὲ καὶ Κολοφῶνος κτίσιν καὶ τὸν εἰς Ἐλέαν τῆς Ἰταλίας ἀποικισμὸν ἔπη δισχίλια. καὶ ἤκμαζε κατὰ τὴν ἑξηκοστὴν ὀλυμπιάδα. φησὶ δὲ Δημήτριος ὁ Φαληρεὺς ἐν τῷ Περὶ γήρως (fr. 83 Wehrli) *καὶ Παναίτιος ὁ Στωικὸς ἐν τῷ Περὶ εὐθυμίας* (fr. 17 Fowler) *ταῖς ἰδίαις χερσὶ θάψαι τοὺς υἱεῖς αὐτόν, καθάπερ καὶ Ἀναξαγόραν. δοκεῖ δὲ πεπρᾶσθαι ὑπὸ* ** (lacunam statuit et postea ⟨*καὶ λελύσθαι ὑπὸ*⟩ suppl. Die.) *τῶν Πυθαγορικῶν Παρμενίσκου καὶ Ὀρεστάδου, καθά φησι Φαβωρῖνος ἐν Ἀπομνημονευμάτων πρώτῳ* (fr. 38 Barigazzi). *γέγονε δὲ καὶ ἄλλος Ξενοφάνης Λέσβιος ποιητὴς ἰάμβων.*

78 Diog. Laert. 9, 21

Ξενοφάνους δὲ διήκουσε Παρμενίδης Πύρητος Ἐλεάτης — τοῦτον Θεόφραστος ἐν τῇ Ἐπιτομῇ (fr. 6a Die., cf. Dox. 482) *Ἀναξιμάνδρου φησὶν ἀκοῦσαι —, ὅμως δ' οὖν ἀκούσας καὶ Ξενοφάνους οὐκ ἠκολούθησεν αὐτῷ ...*

79 Diog. Laert. 9, 22

καὶ αὐτὸς (scil. *ὁ Παρμενίδης*) *δὲ διὰ ποιημάτων φιλοσοφεῖ, καθάπερ Ἡσιοδός τε καὶ Ξενοφάνης καὶ Ἐμπεδοκλῆς*. cf. Test. 58.

80 Diog. Laert. 9, 111

φαίνεται (*ὁ Τίμων*) *γοῦν ἀνακρίνων Ξενοφάνην τὸν Κολοφώνιον περὶ ἑκάστων, ὁ δ' αὐτῷ διηγούμενός ἐστι.*

81 Aelian. fr. 33 (II 199 Hercher) = Suda s. v. *ἔρρε* (II 404, 22 Adler)

ὦ Ξενοφάνεις καὶ Διαγόραι καὶ Ἵππωνες καὶ Ἐπίκουροι καὶ πᾶς ὁ λοιπὸς κατάλογος τῶν κακοδαιμόνων τε καὶ θεοῖς ἐχθρῶν, ἔρρετε.

82 Apul. Flor. 20

canit enim Empedocles carmina, Plato dialogos, Socrates hymnos, Epicharmus modos (mimos *coni. Reich*), Xenophon historias, Xenophanes (Xenocrates *codd.*: *corr. Casaub.*) satiras.

83 Minuc. Fel. Oct. 19, 7

X e n o p h a n e s notum est omne infinitum cum mente deum tradere et Antisthenem populares deos multos, sed naturalem unum praecipuum, Speusippum vim {naturalem} (*del. Davies*) animalem, qua omnia regantur, deum nosse.

84 Lactant. Div. inst. 3, 23

X e n o p h a n e s (*cum Anaxagora hic confusus, ut suspic. Diels, Vors. I 121, vid. Test. 48*) dicentibus mathematicis orbem lunae duodeviginti partibus maiorem esse quam terram stultissime credidit, et quod huic levitati fuit consentaneum dixit citra concavum lunae sinum esse aliam terram: et ibi aliud genus hominum simili modo vivere quo nos in terra vivimus.

85 Calcidius in Plat. Tim. 311 (285, 1ss Waszink)

sunt tamen qui immobilem fore defendant et eandem ex omnibus in unam molem redactam, unum omnia esse censentes immobile sine ortu et sine interitu, ut X e n o p h a n e s, Melissus, Parmenides; sed Parmenides quidem unum omne perfectum et definitum pronuntiat, Melissus infinitum et indeterminatum.

86 (Vors. 122, 29; Dox. 565, 20) Hippolyt. Refut. 1, 14, 1ss (e Theophrasto)

(1) *Ξ ε ν ο φ ά ν η ς δὲ ὁ Κ ο λ ο φ ώ ν ι ο ς Ὀρθομένους υἱός. οὗτος ἕως Κύρου διέμεινεν. οὗτος ἔφη πρῶτος ἀκαταληψίαν εἶναι πάντων, εἰπὼν οὕτως* [fr. 35, 3–4]. (2) *λέγει δὲ ὅτι οὐδὲν γίνεται οὐδὲ φθείρεται οὐδὲ κινεῖται καὶ ὅτι ἓν τὸ πᾶν ἐστιν ἔξω μεταβολῆς. φησὶ δὲ καὶ τὸν θεὸν εἶναι ἀίδιον καὶ ἕνα καὶ ὅμοιον πάντῃ καὶ πεπερασμένον καὶ σφαιροειδῆ καὶ πᾶσι τοῖς μορίοις αἰσθητικόν.* (3) *τὸν δὲ ἥλιον ἐκ μικρῶν πυριδίων ἀθροιζομένων γίνεσθαι καθ᾽ ἑκάστην ἡμέραν, τὴν δὲ γῆν ἄπειρον εἶναι, καὶ μήτε ὑπ᾽ ἀέρος μήτε ὑπὸ τοῦ οὐρανοῦ περιέχεσθαι. καὶ ἀπείρους ἡλίους εἶναι καὶ σελήνας, τὰ δὲ πάντα εἶναι ἐκ γῆς* (cf. fr. 23). (4) *οὗτος τὴν θάλασσαν ἁλμυρὰν ἔφη διὰ τὸ πολλὰ μίγματα συρρέειν ἐν αὐτῇ· ὁ δὲ Μητρόδωρος διὰ τὸ ἐν τῇ γῇ διηθεῖσθαι, τούτου χάριν γίνεσθαι ἁλμυράν.* (5) *ὁ δὲ Ξ ε ν ο φ ά ν η ς μῖξιν τῆς γῆς πρὸς τὴν θάλασσαν γίνεσθαι δοκεῖ καὶ τῷ χρόνῳ ὑπὸ τοῦ ὑγροῦ λύεσθαι, φάσκων τοιαύτας ἔχειν ἀποδείξεις, ὅτι ἐν μέσῃ γῇ καὶ ὄρεσιν εὑρίσκονται κόγχαι, καὶ ἐν Συρακούσαις δὲ ἐν ταῖς λατομίαις λέγει εὑρῆσθαι τύπον*

ἰχθύος καὶ φωκῶν (*φυκίων* Gomperz, sed cf. Steier R. E. XX (1941), 453 ss), *ἐν δὲ Πάρῳ τύπον δάφνης* (*ἀφύης* Gronovius, prob. olim Die.) *ἐν τῷ βάθει τοῦ λίθου, ἐν δὲ Μελίτῃ πλάκας συμπάντων τῶν θαλασσίων.* (6) *ταῦτα δέ φησι γενέσθαι, ὅτε πάντα ἐπηλώθησαν πάλαι, τὸν δὲ τύπον ἐν τῷ πηλῷ ξηρανθῆναι, ἀναιρεῖσθαι δὲ τοὺς ἀνθρώπους πάντας, ὅταν ἡ γῆ κατενεχθεῖσα εἰς τὴν θάλασσαν πηλὸς γένηται, εἶτα πάλιν ἄρχεσθαι τῆς γενέσεως, καὶ ταύτην πᾶσι τοῖς κόσμοις γίνεσθαι μεταβολήν.*

87 (Vors. 124, 20; Dox. 481, 14) Galen. in Hippocr. De nat. hom. (XV 25 Kühn)

κακῶς δὲ καὶ τῶν ἐξηγητῶν ἔνιοι κατεψεύσαντο Ξενοφάνους ὥσπερ καὶ Σαβῖνος ὧδί πως γράψας αὐτοῖς ὀνόμασιν· 'οὔτε γὰρ πάμπαν ἀέρα λέγω τὸν ἄνθρωπον ὥσπερ Ἀναξιμένης οὔτε ὕδωρ ὡς Θαλῆς οὔτε γῆν ὥς ἔν τινι Ξενοφάνης'· οὐδαμόθεν γὰρ εὑρίσκεται ὁ Ξενοφάνης ἀποφηνάμενος οὕτως ... καὶ Θεόφραστος δ' ἂν ἐν ταῖς τῶν Φυσικῶν δοξῶν ἐπιτομαῖς τὴν Ξενοφάνους δόξαν, εἴπερ οὕτως εἶχεν, ἐγεγράφει.

88 (Dox. 610, 11) Ps.-Galen. Histor. philos. 18 (XIX 243 Kühn)

ἀλλὰ Φερεκύδης μὲν ὁ Ἀσσύριος γῆν εἶναι ταύτην ἐνόμισε, Θαλῆς δὲ ὕδωρ ..., Ξενοφάνης δ' ὁ Κολοφώνιος γῆν καὶ ὕδωρ. cf. Test. 65 et 71.

89 Euseb. Praep. Ev. 10, 4, 17

κἄπειτα ἡ Ἐλεατική (i. e. *φιλοσοφία*), *Ξενοφάνην τὸν Κολοφαώνιον πατέρα ἐπιγραψαμένη.*

90 Euseb. Praep. Ev. 14, 2, 5

ἔμπαλιν δὲ τούτοις συναποδύσομεν τοὺς ἀμφὶ Ξενοφάνην καὶ Παρμενίδην τὴν ἐναντίαν παραταξαμένους καὶ αἰσθήσεις ἀνελόντας.

91 Euseb. Praep. Ev. 14, 15, 11

πλὴν ἀλλὰ φυσικοὶ καὶ ἄλλοι Ξενοφάνης καὶ Πυθαγόρας, συνακμάσαντες Ἀναξαγόρᾳ, περὶ ἀφθαρσίας θεοῦ καὶ ψυχῆς ἀθανασίας ἐφιλοσόφησαν.

92 Euseb. Praep. Ev. 14, 16, 13

φέρ' οὖν πάλιν ἀναλάβωμεν τὸν λόγον. ἐπειδὴ τῶν φυσικῶν φιλοσόφων οἱ μὲν πάντα κατέβαλλον ἐπὶ τὰς αἰσθήσεις, οἱ δ' αὖ πάλιν τούτοις

ἀνθεῖλκον, ὡς οἱ περὶ Ξενοφάνη τὸν Κολοφώνιον καὶ Παρμενίδην τὸν Ἐλεάτην, οἳ δὴ τὰς αἰσθήσεις ἀνῄρουν, μηδὲν εἶναι φάσκοντες καταληπτὸν τῶν ἐν αἰσθήσει, διὸ μόνῳ δεῖν πιστεύειν τῷ λόγῳ, τὰ πρὸς αὐτοὺς ἀντειρημένα διασκεψώμεθα.

93 Euseb. Praep. Ev. 15, 1, 10

τό γε μὴν παρόν, ἐπειδὴ πέφηνεν ἐν τοῖς πρὸ τούτου συγγράμμασιν ἡ κατὰ Πλάτωνα φιλοσοφία τοτὲ μὲν τοῖς Ἑβραίων συμφωνοῦσα λόγοις, τοτὲ δὲ πρὸς αὐτοὺς διεστῶσα, ἐν οἷς ἐλήλεγκται καὶ πρὸς τὰ αὐτῇ ἀρέσκοντα διαφωνοῦσα, τὰ δὲ κατὰ τοὺς ἄλλους τοὺς δὴ φυσικοὺς ἐπικληθέντας φιλοσόφους τά τε τῆς Πλάτωνος διαδοχῆς καὶ τὰ κατὰ Ξενοφάνην τε καὶ Παρμενίδην καὶ ἔτι Πύρρωνα καὶ τοὺς τὴν ἐποχὴν εἰσηγουμένους τούς τε ἄλλους ἑξῆς ἅπαντας, ὧν τὰς δόξας ὁ προλαβὼν ἀπήλεγξε λόγος, τοῖς Ἑβραίων ὁμοῦ καὶ τοῖς Πλάτωνος δόγμασιν αὐτῇ τε ἀληθείᾳ ἐξ ἐναντίας ἱστάμενα, οὐ μὴν ἀλλὰ καὶ τὸν ἔλεγχον τοῖς σφῶν αὐτῶν βέλεσιν ἀπενηνεγμένα.

94 Theodoret. Graec. aff. cur. 1, 72 Raeder

Παρμενίδης ὁ Ἐλεάτης, ὁ τοῦ Κολοφωνίου Ξενοφάνους ἑταῖρος . . .

95 Theodoret. Graec. aff. cur. 2, 10 Raeder

Ξενοφάνης δὲ ὁ Κολοφώνιος τὸ πᾶν ἀίδιον, ἐκ δὲ τῆς γῆς τὰ πάντα. cf. fr. 23 et Test. 60; 86 (3); 96; 102.

96 (Vors. 124, 11; Dox. 284b) Theodoret. Graec. aff. cur. 4, 5 Raeder (ex Aëtio)

Ξενοφάνης μὲν οὖν ὁ Ὀρθομένους ὁ Κολοφώνιος, ὁ τῆς Ἐλεατικῆς αἱρέσεως ἡγησάμενος, ἓν εἶναι τὸ πᾶν ἔφησε, σφαιροειδὲς καὶ πεπερασμένον, οὐ γενητόν, ἀλλ᾽ ἀίδιον καὶ πάμπαν ἀκίνητον· πάλιν δ᾽ αὖ τῶνδε τῶν λόγων ἐπιλαθόμενος, ἐκ τῆς γῆς φῦναι ἅπαντα εἴρηκεν. αὐτοῦ γὰρ δὴ τόδε τὸ ἔπος ἐστίν [fr. 23]. vid. etiam 2, 17 Raeder.

97 (Dox. 284b) Theodoret. Graec. aff. cur. 4, 7 Raeder

καὶ Παρμενίδης δὲ ὁ Πύρρητος ὁ Ἐλεάτης, Ξενοφάνους ἑταῖρος γενόμενος, κατὰ μὲν τὸν πρῶτον λόγον ξύμφωνα τῷ διδασκάλῳ ξυγγέγραφεν· αὐτοῦ γὰρ δὴ τόδε τὸ ἔπος εἶναί φασιν 'οὖλον μουνογενές τε καὶ ἀτρεμὲς ἠδ' ἀγένητον' (8, 4 D.—K.). *αἴτιον δὲ τῶν ὅλων οὐ τὴν γῆν μόνον, καθάπερ ἐκεῖνος, ἀλλὰ καὶ τὸ πῦρ εἴρηκεν οὗτος.*

98 Theodoret. Graec. aff. cur. 5, 65 Raeder

εἰ δὲ οὐκ ἀληθῆ λέγω, εἴπατε, ὦ ἄνδρες, τίνα Ξενοφάνης ὁ Κολοφώνιος ἔσχε διάδοχον τῆς αἱρέσεως;

99 (Dox. 590, 15) Epiphan. De fide 9, 14 (505 Holl)

Ξενοφάνης ὁ τοῦ Ὀρθομένους, Κολοφώνιος, ἐκ γῆς καὶ ὕδατος ἔφη τὰ πάντα γίνεσθαι. εἶναι δὲ τὰ πάντα, ὡς ἔφη, οὐδὲν ἀληθές. οὕτως τὸ ἀτρεκὲς ἡμῖν ἄδηλον, δόκησις 'δὲ ἐπὶ πᾶσι τέτυκται' (cf. fr. 35, 4) *μάλιστα τῶν ἀφανέων.*

100 (Vors. 126, 13) Macrob. in Somn. Scip. 1, 14, 20

Xenophanes ex terra et aqua (*scil.* animam esse dixit).

101 (Vors. 116, 4) Procl. in Hes. Op. 284 (= Plut. fr. 19 Bern.)

Ξενοφάνης διὰ δή τινα πρὸς τοὺς κατ' αὐτὸν φιλοσόφους καὶ ποιητὰς μικροψυχίαν Σίλλους ἀτόπους ἐκθεῖναι λέγεται κατὰ πάντων φιλοσόφων καὶ ποιητῶν.

102 (Vors. 124, 18) Olympiod. De arte sacra 24 (Berthelot, Collect. des anc. Alchim. Gr. II 82, 21)

τὴν γὰρ γῆν οὐδεὶς ἐδόξασεν εἶναι ἀρχήν, εἰ μὴ Ξενοφάνης ὁ Κολοφώνιος.

103 Augustin. De civ. Dei 7, 17

sed, ut Xenophanes Colophonius scribit, quid putem, non quid contendam ponam. hominis est enim haec opinari, Dei scire. cf. Test. 52.

104 (Vors. 125, 20; Dox. 371 b) Stob. Ecl. 1, 31 (*π. νεφῶν ὁμίχλης ὑετῶν κτλ.*), 4, I 243 W. (ex Aëtio)

Ξενοφάνης ἀπὸ τῆς τοῦ ἡλίου θερμότητος ὡς ἀρκτικῆς αἰτίας τἀν τοῖς μεταρσίοις συμβαίνειν· ἀνελκομένου γὰρ ἐκ τῆς θαλάττης τοῦ ὑγροῦ τὸ γλυκὺ διὰ τὴν λεπτομέρειαν διακρινόμενον νέφη τε συνιστάνειν ὁμιχλούμενον καὶ καταστάζειν ὄμβρους ὑπὸ πιλήσεως καὶ διατμίζειν τὰ πνεύματα. γράφει γὰρ διαρρήδην· [fr. 24, 1].

105 (Vors. 126, 11; Dox. 396 b) Stob. Ecl. 1, 50 (*π. αἰσθήσεως καὶ αἰσθητῶν*), 17, I 475 W.

Πυθαγόρας, Ἐμπεδοκλῆς, Ξενοφάνης ... Πλάτων ψευδεῖς εἶναι τὰς αἰσθήσεις.

106 Ioann. Lyd. De mens. 3, 12 (p. 53 Wuensch)

Ἀναξιμένης τοίνυν κύκλον τὴν σελήνην εἶναι βούλεται ἐννεακαιδεκαπλασίονα τῆς γῆς, πλήρη πυρὸς ὥσπερ ⟨*τὸν*⟩ (add. Bekker) *τοῦ ἡλίου, Ξενοφάνης δὲ νέφος εἶναι πεπυρωμένον κτλ.*

107 (Vors. 116, 7) Schol. *B* 212b (I 228, 62 Erbse)

ἤδη δὲ οὐ Ξενοφάνει, ἀλλ' Ὁμήρῳ πρώτῳ σίλλοι πεποίηνται ἐν οἷς αὐτόν τε τὸν Θερσίτην σιλλαίνει καὶ ὁ Θερσίτης τοὺς ἀρίστους.

108 Suda s. v. *Ζήνων* (II 506, 23 Adler)

Ζήνων, Τελευταγόρου, Ἐλεάτης . . ., μαθητὴς Ξενοφάνους ἢ Παρμενίδου.

109 Suda s. v. *Ἡράκλειτος* (II 583, 32 Adler)

τινὲς δὲ αὐτὸν (i. e. *Ἡράκλειτον*) *ἔφασαν διακοῦσαι Ξενοφάνους . . .*

110 Suda s. v. *Παρμενίδης* (IV 59, 11 Adler)

Παρμενίδης, Πύρητος, Ἐλεάτης, φιλόσοφος, μαθητὴς γεγονὼς Ξενοφάνους τοῦ Κολοφωνίου, . . .

111 Tzetz. ad Dionys. Perieg. v. 940 (1010 Bernh.)

περὶ τῶν εἰς ρος κανών
σιλλογράφος δέ τις τὸ σι μακρὸν γράφει
τῷ ρῶ, δοκεῖ μοι, τοῦτο μηκύνας τάχα.
σιλλογράφος νῦν ὁ Ξενοφάνης ἐστὶ καὶ ὁ Τίμων καὶ ἕτεροι.

112 Tzetz. Chil. 7, 519ss

νοῦν ἐπὶ θείας φύσεως κυρίως φαμὲν μόνον, ἐπὶ θεοῦ ἀγγέλων τε καὶ τῶν ὁμοιοτρόπων, ὡς Ξενοφάνης ἔγραψε τοῦτο καὶ Παρμενίδης.

113 Michael. Glyc. Ann. I 20d (40 Bekker)

ὁ δέ γε Ξενοφάνης τὸν ἥλιον καὶ τὴν σελήνην πεπυρωμένα νέφη ἔφησεν εἶναι, ἄλλοι δὲ μύδρον ἢ πέτρον διάπυρον ἔλεγον εἶναι.

114 Eust. in Il. p. 204, 21ss

οἱ δὲ παλαιοὶ παρασημειοῦνται ἐνταῦθα, ὅτι οὐ μόνον Ξενοφάνης πεποίηκε σιλλούς, ἐν οἷς εὐδοκίμηκεν, ἀλλὰ καὶ τούτου τοῦ εἴδους πρῶτος κατῆρξεν Ὅμηρος, ἐν οἷς αὐτός τε τὸν Θερσίτην σιλλαίνει καὶ ὁ Θερσίτης τοὺς βασιλεῖς. cf. Test. 107.

ΞΕΝΟΦΑΝΗΣ

Colophonius saec. VI—V

ΕΛΕΓΕΙΑ

1 (1 D.—K.)

νῦν γὰρ δὴ ζάπεδον καθαρὸν καὶ χεῖρες ἁπάντων
καὶ κύλικες· πλεκτοὺς δ' ἀμφιτιθεῖ στεφάνους,
ἄλλος δ' εὐῶδες μύρον ἐν φιάλῃ παρατείνει·
κρατὴρ δ' ἕστηκεν μεστὸς ἐυφροσύνης·
5 *ἄλλος δ' οἶνος ἑτοῖμος, ὃς οὔποτέ φησι προδώσειν*
μείλιχος ἐν κεράμοις ἄνθεος ὀσδόμενος·

(I) ATHEN. 11, 462c *ὁρῶν οὖν ὑμῶν καὶ αὐτὸς τὸ συμπόσιον κατὰ τὸν Κολοφώνιον Ξενοφάνη πλῆρες ὂν πάσης θυμηδίας·* [A 1—24, CE 4—22 (16s *ταῦτα* ... *ὕβρεις* omissis)] || (II) EUST. in Od. p. 1633, 53 *τοῦ τοιούτου τόπου καὶ τύπου καὶ τό· κρατὴρ ἕστηκε μεστὸς ἐμφροσύνης. ἄλλος δὲ οἶνος ἔτυμος, ὅς οὔποτε προδώσει, μείλιχος, ἐν κεράμοις, ἄνθεος ὀσδόμενος ἤγουν ἀνθοσμίας. ἐν δὲ μέσοις ἁγνὴν ὀσμὴν λιβανωτὸς ἵησιν* [cf. 4—7] || 1 cf. HESYCH. *ζάπεδον· μέγα ἔδαφος*

1 *K* 173 *νῦν γὰρ δὴ* (in hexam. ineunte) || 2 Ps.-Eur. I. A. 1529ss *στέφανον* ... *ἀμφὶ κάρα* ... *ἀμφιθεῖναι* || 3 *β* 339 *εὐῶδες ἔλαιον* || 4 *Γ* 246 *οἶνον ἐύφρονα* || 6 Alcm. 92 (b) P. (*οἶνον*) ... *ἄνθεος ὄσδοντα*

carmen partibus duabus constat, quarum in una (vv. 1—12) locus et mores convivii accurate describuntur, in altera (vv. 13—24) temperatioris epuli leges commemorantur. versuum structura ita conformatur ut eluceat maxime oppositio inter iusta (*τὰ δίκαια* v. 15), quae in convivio sunt agenda, et insolentiam (*ὕβρεις* v. 17) eorum qui deorum proelia ad laetitiam convivii non apta velint narrare || 1ss vix initium esse carminis censet Bowra || 1 *δάπεδον* Steph., Herm. alii, sed cf. Schwyzer, Dialect. Gr. exempla epigr. potiora 771, 3 *σεμνῶι ἐνὶ ζαπέδωι* (Pari, saec. VI/V a. C.) et Grammatica et Metrica p. XIII || 2 *ἀμφιτιθείς* (I): corr. Dind. (ad pronom. *ὁ μὲν* ellipsin cf. Denniston, Gr. Part. 166, ad *-τιθεῖ* cf. Mimn. 1, 6; 7, 6) *-τίθει* Fick et Bgk. ad Bacchyl. Epigr. 1, 4 (sed *-τιθεῖ* Bgk.[4]) *-τιθεῖς* Ludw. || 3 *ἄλλος, ὁ δ'* Herm. | *παρατείνοι* Carrière, Rev. ét. anc. 65, 1963, 162s (accepto *ἀμφιτίθει* ad v. 2), alii aliter || 4 *κρητὴρ* Schndw. et Herm., probb. West alii | *δ'* om. (I) CE (II) | ad *ἐυφροσ.* cf. Sol. 3, 7ss et infra ad vv. 13ss || 5 *ἄλλος δ' οἰνός ἐστιν ἕτοιμος* (I): corr. Mus. *ἄλλος δὲ οἶνος ἔτυμος* (II) *οἶνος δ' ἐστὶν ἕτοιμος* Herm., Ludw. et dub. Schndw. | *προδοῦναι* = *ἐπιλιπεῖν*, 'deficere', ut interpretantur Buchh.-Peppm. coll. Herodt. 7, 187, 1;

ἐν δὲ μέσοις ἁγνὴν ὀδμὴν λιβανωτὸς ἵησι,
ψυχρὸν δ' ἐστὶν ὕδωρ καὶ γλυκὺ καὶ καθαρόν·
πάρκειται δ' ἄρτοι ξανθοὶ γεραρή τε τράπεζα
τυροῦ καὶ μέλιτος πίονος ἀχθομένη· 10
βωμὸς δ' ἄνθεσιν ἂν τὸ μέσον πάντῃ πεπύκασται,
μολπὴ δ' ἀμφὶς ἔχει δώματα καὶ θαλίη.
χρὴ δὲ πρῶτον μὲν θεὸν ὑμνὲν εὔφρονας ἄνδρας
εὐφήμοις μύθοις καὶ καθαροῖσι λόγοις,
σπείσαντάς τε καὶ εὐξαμένους τὰ δίκαια δύνασθαι 15
πρήσσειν — ταῦτα γὰρ ὦν ἐστι προχειρότερον —,

7 Hymn. Hom. 7, 35ss *οἶνος . . . εὐώδης, ὤρνυτο δ' ὀδμὴ ἀμβροσίη* || 11 Theogn. 839 *ἂν τὸ μέσον* | *Ξ* 289 *ὄζοισιν πεπυκασμένος* || 15 *Π* 253 *σπείσας τε καὶ εὐξάμενος* (*γ* 45, *ο* 258) || 15s Ion Ch. 1, 15s D. *δίδου . . . πίνειν . . . καὶ τὰ δίκαια φρονεῖν*

8, 52 || 6 *ὀζόμενος* Herm., probb. edd. plerique *ὀσδ-* codd., recte def. Bgk. (cf. *ὑμνέν* v. 13; num Alcmanis verba *ἄνθεος ὄσδοντα* Xenophanes memorat?); ad medialem formam vid. Tyrt. 9, 1 cum adn.

7 *ἐν δὲ μ.* cf. Tyrt. 10, 74 cum adn. | ad *ἁγν.* notionem cf. Gent., Quad. Urb. 2, 1966, 37ss | *ὀσμὴν* (I) CE (II) || 9 *παρκέαται* Wack., Glotta 7, 1915, 257 (= Unters. zu Homer 97), prob. West, qui etiam *πάρκειται* conicit | ad *ἄρτ. ξ.* vid. Treu 283 || 12 ad *μολπή* cf. A. Pagliaro, Saggi di critica semantica, Messina – Firenze 1953, 19ss | *ἀμφὶς ἔχει = ἀμπέχει* ut, ex. gr., *ϑ* 340 | *ἔχοι* Us. || 13ss ad rem cf. Theogn. 762ss, Anacr. 56, 1ss Gent. cum adn., et P. Berol. 13270 (Berl. Kl.-Texte V 2, 62s). Panyass. fr. 12, 16s Kinkel non inepte contulit Bielohlawek 23 || 13s cf. v. 21ss || 13 *δὴ* malit Bgk., fortasse recte, ad vitandum *δε̄ πρ.* in thesi | nota *θεὸν* singulari numero et v. 24 *θεῶν* plurali; de unius vel plurium deorum doctrina a Xenophane accepta cf. 26 adn. | *ὑμνὲν* (I) omnes codd.: in C lineolam supra *μ* additam vix correctionem in *-εῖν* credideris. hanc infinitivi formam, quae Dorica dicitur (sed vid. Pavese, Tradizioni 90), haud recte negant edd. plerique, qui *ὑμνεῖν* scribunt, Steph. secuti. *ὑμνὲν* iam servaverant aliquot edd. priores et Karsten, cf. *ὀσδόμενος* v. 6; ad caesuram trochaicam in pede quarto vid. p. XIII | de verborum *ὕμνος* vel *ὑμνεῖν* notione vid. Gent., Lirica 62 | ad *εὔφρ.* cf. v. 4 || 14 de *λόγοις* perperam est dubitatum, cf. Bowra, Probl. 4s, qui tamen *μύθοις* et *λόγοις* idem paene significare non recte censet: *εὔφημοι μῦθοι* sunt verba propitia quae in caerimoniis pronuntiantur (cf. *εὔφημα λέγειν*, lat. *dicamus bona verba*), *καθ. λόγοι* sunt fabulosae narrationes in quibus deorum rixas vel similia cavendum est celebrare (cf. v. 21ss) || 15ss locus perdifficilis ac varie tentatus, etsi ex Wil. sententia hi sint 'versus non ex ordine tantum servati sed etiam integri fere' (Kl. Schr. IV 2) || 15 *δὲ* pro *τε* Bgk., qui plene interpungit post *λόγοις* (v. 14), probb. Wil., D.-K. alii, at *σπονδή* et *εὐχή* non opponuntur, nec subsequuntur hymnum, sed ei praecedunt (cf. Herter 34ss et antea Schndw. Beitr. 78) || 16s *ταῦτα . . . ὕβρεις* om. (I) CE || 16 ad singularem numerum (*προχειρότερον*) cum plurali (*ταῦτα*) coniunctum cf. Tyrt. 7, 26 cum adn. | de *γὰρ ὦν* in parenthesi usurpato cf. Denniston, Gr. Part. 447 | *ὧν* (I) A | *προαιρετέον* Schndw. (olim et Bgk.), alii aliter frustra | parenthesin continuat in sequenti versu Schndw.

οὐχ ὕβρεις, πίνειν δ᾽ ὁπόσον κεν ἔχων ἀφίκοιο
οἴκαδ᾽ ἄνευ προπόλου μὴ πάνυ γηραλέος,
ἀνδρῶν δ᾽ αἰνεῖν τοῦτον ὃς ἐσθλὰ πιὼν ἀναφαίνει,
20 ὥς οἱ μνημοσύνη καὶ τόνος ἀμφ᾽ ἀρετῆς,
οὔ τι μάχας διέπειν Τιτήνων οὐδὲ Γιγάντων
οὐδέ ⟨τι⟩ Κενταύρων, πλάσμα⟨τα⟩ τῶν προτέρων,
ἢ στάσιας σφεδανάς, τοῖς οὐδὲν χρηστὸν ἔνεστι,
θεῶν ⟨δὲ⟩ προμηθείην αἰὲν ἔχειν ἀγαθήν.

17 *ὕβρις* Mus., probb. plerique edd.; post *ὕβρις* interpungit Schndw., probb. Hart., Mull. et nunc West, qui *ὕβρεις* (= *ἄδικα ἔργα* ex Hes. Op. 146) servat. attamen *ὕβρεις* (vel *ὕβριν*, ut praetulerunt Herm., Hart.) cum *πρήσσειν* coniungendum est (cf. Aeschin. 1, 188 *ὕβριν πεπρακώς*) et opponitur iustis rebus (*τὰ δίκαια*, i. e. *πίνειν μετρίως, ἀναφαίνειν ἐσθλά, ἔχειν ἀγαθὴν προμηθείην θεῶν*), ita ut intelligas: 'precantes iusta, non iniurias posse facere'. ad rem cf. *φ* 293, Theogn. 211s (477s. 509s), Anacr. 33 Gent. = 356 P., Ion Ch. 2 D., Euen. 2 D., Crit. 4, 24s D., Hor. C. 1, 18, 7 al. | *δ᾽* del. Bgk., qui ad *ὕβρις* subaudit *ἐστί*, probb. Wil., D.-K. alii *σ᾽* coni. Adr. | ad caesuram trochaicam in pede quarto vid. v. 13 | *ἀφίκηαι* Wil. || 18 *γυραλέος* Wil., alii alia | post *γηρ.* plene interpungunt edd. plerique || 19–23 cf. Ibyc. 282, 10ss P. et Anacr. 56 Gent., ubi res luctuosas, quae a convivii laetitia sunt alienae, narrare poetae recusant, cf. Gentili, Studi in on. Ardizzoni 397 || 19–24 post v. 14 traiciendos putavit Weil, obloqu. Bgk. || 19 *αἰνεῖν* (ut 21 *διέπειν* et 24 *ἔχειν*) cum *χρή* coniungendum videtur (cf. Herm. 327), alii autem (Huds.-Will., Allen alii) infinitivum hic esse vi imperativa, alii denique (Peppm., D. alii) ex vocabulo *ἀγαθόν* (v. 24 ex *-ήν* correctum) pendere censent | *ἐσθλὰ πιω* (I) A *ἔσθλ᾽, ἃ πιὼν* Ludw. *ἔσθλ᾽ εἰπὼν* H. Fränkel (ad vitandum finem verbi post quartum trochaeum, sed cf. vv. 13 et 17) *ἔσθλ᾽ ἐπιὼν* Unterst., sed cf. Empedocl. 31 B 131, 4 *ἀμφὶ θεῶν μακάρων ἀγαθὸν λόγον ἐμφαίνοντι* | *ἀναφαίνῃ* Herm., probb. Hart., Peppm., D., obloqu. Wil. (Kl. Schr. IV 405, adn. 1) || 20 'quomodo sibi memoria et vocis intentio vigeat in virtute canenda' (Die.) | *ὥς οἱ* Koraës, Schweigh. et (sed *ὡς*) Schndw. *ωση* (I) A *ὡς ἡ* (I) CE *ὅσσ᾽ ἡ* Casaub. in mg. *ὡς ᾖ* Ahr., prob. West *ὅσση* Herm. *ὡς ᾖ* Allen *ὡς ἡ* Defradas | *Μνημοσ-* Casaub. *γρ.* in mg., Peppink | *τὸν ὃς* (I): corr. Koraës (ap. Schweigh.) et Sintenis (ap. Herm. in recens. Schndw. Del. 33), qui primus Pind. Pyth. 11, 54 *ἀμφ᾽ ἀρεταῖς τέταμαι* contulit *τὸν ὃς* receperunt Mus., Steph., Allen aliique multi (nuperrime etiam Babut) *πόνος* Schndw., probb. Wil., Adr. *λόγος* Herm. in recens. Schndw. 33, sed *νόος* ap. Bgk., alii alia | *ἀρετῇ* Wil., probavit dub. West | post *ἀρετῆς* interpungunt fortiter D. alii || 21ss cf. Aesch. Pers. 105ss *πολέμους ... διέπειν ... πόλεών τ᾽ ἀναστάσεις* || 21 *οὔτε* Mull. *οὐδὲ* malit West | *διέπει* (I) CE et Koraës ex coni., probb. Bgk., Wil. alii *διέπῃ* Hart., prob. Ludw. *διέπων* H. Fränkel, probb. D.-K. || 22 ⟨*τι*⟩ Mein. ⟨*τε*⟩ Mus., Cam. ⟨*γε*⟩ Schndw. ⟨*τὰ*⟩ Hart., Herm. ⟨*κε*⟩ Kal., prob. D. ⟨*αὖ*⟩ Bgk. | *πλ.* suppl. Schweigh. *φλάσματα* Herm. | ad *πλάσμ. τῶν προτ.* cf. Sol. 25 *πολλὰ ψεύδονται ἀοιδοί* || 23s deest (I) CE || 23 cf. Sol. 3, 19 (Herodt. 8, 3, 1); *στάσ. σφεδ.* ad *ἔριν θεῶν* (cf. Hes. Theog. 705 vel 710 et 637) spectare recte censet Havelock | *φενδόνας* (I): corr. Osann (Beitr. zu griech. u. röm. Litteraturgesch. I 53) et Bgk. *φλεδόνας* Scal. ap. Steph. *φλεδονᾶν* Herm. | *ταῖς* Mull. *τοῖς δ᾽* Ludw. | *χρηστός* i. e. 'utilis' civitati (cf. 2, 14ss et Simon. 542, 35 P. *ὀνησίπολιν δίκαν*) || 24 Iambl. Vit. Pythag. 100 *περὶ ... τοῦ θείου ... εὔφημόν τε*

2 (2 D.—K.)

ἀλλ' εἰ μὲν ταχυτῆτι ποδῶν νίκην τις ἄροιτο
ἢ πενταθλεύων, ἔνθα Διὸς τέμενος
πὰρ Πίσαο ῥοὰς ἐν Ὀλυμπίῃ, εἴτε παλαίων
ἢ καὶ πυκτοσύνην ἀλγινόεσσαν ἔχων
εἴτε τὸ δεινὸν ἄεθλον, ὃ παγκράτιον καλέουσιν, 5
ἀστοῖσίν κ' εἴη κυδρότερος προσορᾶν
καί κε προεδρίην φανερὴν ἐν ἀγῶσιν ἄροιτο
καί κεν σῖτ' εἴη δημοσίων κτεάνων
ἐκ πόλεως καὶ δῶρον, ὅ οἱ κειμήλιον εἴη·
εἴτε καὶ ἵπποισιν, ταῦτά κε πάντα λάχοι 10

2 ATHEN. 10, 413 c *πάντες γὰρ οἱ ἀθλοῦντες μετὰ τῶν γυμνασμάτων καὶ ἐσθίειν πολλὰ διδάσκονται. διὸ καὶ Εὐριπίδης* (fr. 282 N.[2]) *ἐν τῷ πρώτῳ Αὐτολύκῳ λέγει* ... 413f *ταῦτ' εἴληφεν ὁ Εὐριπίδης ἐκ τῶν τοῦ Κολοφωνίου ἐλεγείων Ξενοφάνους οὕτως εἰρηκότος·* [A 1–22, deest Epit., quae solum verba extrema *οὐ πιαίνει μυχοὺς πόλεως* tradit]. *πολλὰ δὲ καὶ ἄλλα ὁ Ξενοφάνης κατὰ τὴν ἑαυτοῦ σοφίαν ἐπαγωνίζεται, διαβάλλων ὡς ἄχρηστον καὶ ἀλυσιτελὲς τὸ τῆς ἀθλήσεως εἶδος*

2 1 Pind. Ol. 1, 93 *ταχυτὰς ποδῶν* ' | *K* 307 *κῦδος ἄροιτο* (in fine versus), *H* 203 *νίκην* ... *καὶ* ... *εὖχος ἀρέσθαι* || 2 *Θ* 48 *ἔνθα δέ οἱ* (i. e. *Διί*) *τέμενος* || 2s Ebert 1, 1s *πεντα Ϝεθλέōν νικά*[*σας* ... *καὶ δὲ παλ*]*αίōν* (Corinth., saec. VI a. C.) || 4 Mimn. 10, 2 *ἀλγινόεσσαν ὁδόν* (in exitu pentam.), *Ψ* 653 *πυγμαχίης ἀλεγεινῆς* || 5 *Ω* 316 *ὃν καὶ περκνὸν καλέουσιν* (*Σ* 487, *A* 403, Hes. fr. 291, 4 Merk.-West al.) || 6 Ion Ch. 2, 10 D. *κυδρότερον πίεται* (in fine versus) || 9 *α* 311s *δῶρον* ... *ὅ τοι κειμήλιον ἔσται* (*Ψ* 618, *δ* 600)

καὶ ἀγαθὴν ἔχειν διάνοιαν contulerunt Herter 37 et Defradas (Banquet 346) | *χρεὼν* pro *θεῶν* coni. H. Fränkel, Dicht. 373, adn. 3, obloqu. Defradas | ⟨*δὲ*⟩ Scal., Casaub. | *ἀγαθόν* coni. F. Francke et Herm. (probb. Peppm., Ludw., D. alii), ita ut etiam infinitivum *διέπειν* (v. 21) regeret, advers. iure Wil. (Kl. Schr. IV 406). si *προμηθείην* ... *ἀγαθήν* retinemus, servatur assonantia inter exeuntia hemistichia (cf. Ziegler 294, adn. 6) et clarius eminet, ut nos admonet per epistulas M. Detienne, anularia quae dicitur structura (vv. 13/14 ~ 24) ad notionem deorum reverentiae confirmandam maxime idonea. *προμ. ἀγ.* (= *εὐσέβεια*, ut animadvertit Deichgräber) opponitur impietati eorum qui deorum proelia vel rixas narrant | cf. Sol. 1, 4 cum adn.

2 ad rem vid. praesertim Eur. Autol. fr. 282 N.[2], 16ss || 1 *εἴ κεν* Wakefield (Silv. Crit. II 49), prob. Schweigh. || 2 *πενταθλ.* hapax, cf. v. 16 || 3 *ῥοῆς* A: corr. Schndw. coll. v. 21 || 4 *πυκτοσ.* hapax | pro *ἔχων* mallent *ἑλών* Karsten, Us. || 5 *εἰττέι* A: corr. Wakefield, Schweigh. | cf. 33, 1 *ἥν τ' Ἶριν καλέουσι* || 6 *προσεραν* A: corr. Jacobs ad Ach. Tat. p. 768 || 8 *σιτειη* A: interpretatus est Turn. *σιτοίη* Casaub. *σίτησιν* Herw., Kaib. | *δημ. κτ.* cf. Sol. 3, 12 || 9 *πόλιος* Schndw. (sic etiam v. 22), probb. edd. plerique || 10 *ταῦτα κ' εἰ πάντα* A: corr. Schweigh. *χ' ἅπαντα* Casaub.

οὐκ ἐὼν ἄξιος ὥσπερ ἐγώ· ῥώμης γὰρ ἀμείνων
ἀνδρῶν ἠδ' ἵππων ἡμετέρη σοφίη.
ἀλλ' εἰκῇ μάλα τοῦτο νομίζεται, οὐδὲ δίκαιον
προκρίνειν ῥώμην τῆς ἀγαθῆς σοφίης.
15 *οὔτε γὰρ εἰ πύκτης ἀγαθὸς λαοῖσι μετείη*
οὔτ' εἰ πενταθλεῖν οὔτε παλαισμοσύνην,
οὐδὲ μὲν εἰ ταχυτῆτι ποδῶν, τόπερ ἐστὶ πρότιμον,
ῥώμης ὅσσ' ἀνδρῶν ἔργ' ἐν ἀγῶνι πέλει,
τοὔνεκεν ἂν δὴ μᾶλλον ἐν εὐνομίῃ πόλις εἴη·
20 *σμικρὸν δ' ἄν τι πόλει χάρμα γένοιτ' ἐπὶ τῷ,*
εἴ τις ἀεθλεύων νικῷ Πίσαο παρ' ὄχθας·
οὐ γὰρ πιαίνει ταῦτα μυχοὺς πόλεως.

3 (3 D.—K.)

ἁβροσύνας δὲ μαθόντες ἀνωφελέας παρὰ Λυδῶν,
ὄφρα τυραννίης ἦσαν ἄνευ στυγερῆς,

22 cf. Eust. in Il. p. 1299, 22 *ἑτέρου δέ τινος* (scil. *Ξενοφάνους*) *φαμένου, ὡς τὰ τῶν ἀθλητῶν οὐ πιαίνει μυχοὺς πόλεως* | cf. Hesych. *πιαίνει· σιτεύει. λιπαίνει* || 3 Athen. 12, 526a *Κολοφώνιοι δ', ὥς φησι Φύλαρχος* (FGrHist 81 F 66), *τὴν ἀρχὴν ὄντες σκληροὶ ἐν ταῖς ἀγωγαῖς, ἐπεὶ εἰς τρυφὴν ἐξώκειλαν πρὸς Λυδοὺς φιλίαν καὶ συμμαχίαν ποιησάμενοι, προήεσαν διησκημένοι τὰς κόμας χρυσῷ κόσμῳ, ὡς καὶ Ξενοφάνης φησίν·* [A 1—6, deest Epit., in qua summatim haec tantum traduntur: *προήεσαν διησκημένοι τὰς κόμας χρυσῷ κόσμῳ παναλουργέα φάρε' ἔχοντες κατὰ Ξενοφάνην* (v. 3)]'... *Θεόπομπος δ' ἐν πεντεκαιδεκάτῃ Ἱστοριῶν* (FGrHist 115 F 117) *χιλίους φησὶν ἄνδρας αὐτῶν ἁλουργεῖς φοροῦντας στολὰς ἀστυπολεῖν· ὃ δὴ καὶ βασιλεῦσιν σπάνιον τότ' ἦν καὶ περισπούδαστον*

12 *P* 400 *ἀνδρῶν τε καὶ ἵππων* || 13 Alc. 71, 2 L.-P. = 71, 2 Voigt *οὔτω τοῦτο νομίσδεται* || 15ss *ϑ* 103 *πύξ τε παλαισμοσύνῃ τε καὶ ἅλμασιν ἠδὲ πόδεσσιν* || 16 Tyrt. 9, 2 *οὔτε παλαισμοσύνης* (in altero pentam. hemistichio) || 20 *Ω* 706 *μέγα χάρμα πόλει τ' ἦν παντί τε δήμῳ* || 21 *Δ* 389 *ἀλλ' ὅ γ' ἀεθλεύειν* (in initio versus) | *M* 313 *Ξάνθοιο παρ' ὄχθας* (*Φ* 337)

11s de singulari numero (*ἐγώ*) cum plurali (*ἡμετ.*) coniuncto cf. Sol. 11, 1s || 12 ad *σοφ.* notionem vid. Gent., Studi De Falco 65; de variis *σοφ.* interpretationibus cf. F. Maier, Der *σοφός*-Begriff. Zur Bedeutung, Wertung u. Rolle des Begriffes von Homer bis Euripides, Diss. München 1970, 39ss || 13 *εἰκῇ* hic primum occurrit, -*ῇ* probat Schwyzer, Gr. Gr. I 622, II 413 *εἰκῇ* Steph., Bgk. alii (dub. etiam D.) || 15 *λαοῖσιν ἔτ' εἴη* A: em. Steph. (Poes. philos. 221) *λ. ἐνείη* Wakefield *λ. ἐπείη* Schweigh. || 15s ad structurae varietatem Pind. Ol. 6, 17 *μάντιν τ' ἀγαθὸν καὶ δουρὶ μάρνασθαι* contulit Karsten || 20 *πόλι* Renner || 21 *νικῴη* vel *νικᾷ* Schweigh., sed *νικῷ* est contractio Ionica (cf. p. XIII) || 22 ad *μυχοὺς* cf. Pind. Nem. 6, 27, Isthm. 1, 56 | *πόλιος* Schndw., D. alii | vix finis carminis videtur esse, ut ex ipso Athenaei textu conicere licet || 3 ad rem cf. Mazzarino, Fra Oriente 192ss || 1ss cf. As. fr. 13 Kinkel (de Samiorum moribus) et Aristot. Pol. 4 p. 1290b 14ss *οὔτ' ἂν οἱ πλούσιοι διὰ τὸ κατὰ πλῆθος ὑπερέχειν δῆμος, οἷον ἐν Κολοφῶνι τὸ παλαιόν· ἐκεῖ γὰρ ἐκέκτηντο μακρὰν οὐσίαν οἱ πλείους, πρὶν*

ἤεσαν εἰς ἀγορὴν παναλουργέα φάρε' ἔχοντες,
οὐ μείους ὥσπερ χείλιοι εἰς ἐπίπαν,
αὐχαλέοι, χαίτῃσιν †ἀγαλλομεν εὐπρεπέεσσιν, 5
ἀσκητοῖς ὀδμὴν χρίμασι δευόμενοι.

4 (5 D.–K.)

οὐδέ κεν ἐν κύλικι πρότερον κεράσειέ τις οἶνον
ἐγχέ‿ας, ἀλλ' ὕδωρ καὶ καθύπερθε μέθυ.

5 (6 D.–K.)

πέμψας γὰρ κωλῆν ἐρίφου σκέλος ἤραο πῖον
ταύρου λαρινοῦ, τίμιον ἀνδρὶ λαχεῖν,

5 HESYCH. *αὐχαλέοι· σεμνοί* || 4 ATHEN. 11, 782a *ἔθος δ' ἦν πρότερον ἐν τῷ ποτηρίῳ ὕδωρ ἐμβάλλεσθαι, μεθ' ὃ τὸν οἶνον. Ξενοφάνης·* [CE 1–2, A deest] || 5 ATHEN. 9, 368d–e *καὶ κωλῆνα δὲ λέγουσι καὶ κωλῆν . . . καὶ Ξενοφάνης δ' ὁ Κολοφώνιος ἐν τοῖς ἐλεγείοις φησί·* [1–4]

3 *Τ* 45 *εἰς ἀγορὴν ἴσαν* (*ϑ* 12 al.) | *Θ* 221 *πορφύρεον . . . φᾶρος ἔχων* (Hymn. Hom. 7, 5s) || 5 Aristeas fr. 2 Kinkel *χαίτῃσιν ἀγαλλόμενοι ταναῇσι* (= Tzetz. Chil. 7, 687) || 5 2 Hymn. Ven. 142 *τίμιον ἀνθρώποισι* (*κ* 38s)

γενέσθαι τὸν πόλεμον τὸν πρὸς Λυδούς || 1 *ἀφροσύνας* A: em. J. G. Schneider (ap. Bach, Critiae carm., Lipsiae 1827, 39), Schndw. et Dobree | ad *ἀβρ. ἀνωφ.* cf. Treu 177 || 2 *τυραννίης στυγερῆς* respicere videtur Medorum occupationem, de qua vid. 13, 5 cum adn. | *τυραννίη* pro *-νίς* hic primum occurrit | *ησσα|νευ* A: corr. Dind.

3ss cf. Cic. De rep. 6, 2 *ut, quemadmodum scribit ille* (scil. Phylarchus) *cotidiano in forum mille hominum cum palliis conchylio tinctis descenderent* || 3 *ἤισαν* Mein., prob. D.² | ad *ἀγορήν* 'contionem' cf. Mazzarino cit. 374s, adn. 540 | *παναλ.* hapax || 4 *ὥσπερ* = *ἤ* (cf. Kühner-Gerth, Gr. Gr. II 540) | *χείλιοι* Hi. *χίλιοι* A | *χίλιοι · εἰςἐπίπαν* distinxit A, ut *εἰς ἐπ.* ad *αὐχαλ.* referretur | *ὡς* pro *εἰς* coni. Schweigh., probb. Karsten, West alii || 5 *αὐχαλ.* hapax, suspectum Wil., qui *ἀστυπόλοι* coniecit | *χαιτισιν* A: em. Mus. | *ἀγαλλομεν* A *ἀγαλλόμενοι* v. l. *ἀγαλλόμεν'* Casaub., D. alii, sed neque synaloephe *-οι‿εὐ-* usitata videtur (cf. Chantraine, Gr. Hom. I 84s, Schwyzer, Gr. Gr. I 401s) neque elisio admissa (cf. Chantraine, op. cit. 86) *ἀγάλμενοι* Wil. (Kl. Schr. IV 406s), probb. D.-K., Sn. alii (*χαίτης ἐν*) *ἀγάλμασιν* Herm. *ἀγαλλόμενοι στεφέεσσιν* Emp. (Advers. 350) *ἀγαλλόμενοι ἀπρεπέεσσιν* Ludw. *ἀγ. χρυσέῃσιν* Mein. (ad auri mentionem recuperandam, quae apud Phylarchum invenitur); locum corruptum putat West, praeeunte Schndw. || 6 *χρήμασι* A: em. Mus. || 4 1s ad fr. 1 pertinere censuit Cousin 22 || 2 *ἐγχεύας* codd.: corr. Casaub. (ad synizesin cf., ex. gr., *Ο* 366 *συγχέας Ἀργείων*) *χεύας* Schweigh. | *ἀλλ' ⟨ἂν⟩ ὕδωρ* Kaib. *ἀλλ' ⟨ὑφ'⟩ ὕδωρ* Wil. ap. Die., Poet. philos. fragm., sed ad priorem syllabam in thesi productam (*ὕδ.*) cf. Ludw. 342s || 5 his versibus Simonidis avaritia (cf. fr. 21), ut censet Die., a Xenophane morderi videtur, sed cf. Cardini, Saggio 156, adn. 10; Havelock de poeticorum donorum permutatione agi opinatur || 1si Alc. 71 L.-P. = 71 Voigt contulit Wil.

τοῦ κλέος Ἑλλάδα πᾶσαν ἀφίξεται οὐδ' ἀπολήξει,
ἔστ' ἂν ἀοιδάων ᾖ γένος Ἑλλαδικόν.

6 (7 D.—K.)

Νῦν αὖτ' ἄλλον ἔπειμι λόγον, δείξω δὲ κέλευθον
*
καί ποτέ μιν στυφελιζομένου σκύλακος παριόντα
φασὶν ἐποικτῖραι καὶ τόδε φάσθαι ἔπος·
'παῦσαι, μηδὲ ῥάπιζ', ἐπεὶ ἦ φίλου ἀνέρος ἐστίν
5 *ψυχή, τὴν ἔγνων φθεγξαμένης ἀίων.'*

7 (8 D.—K.)

ἤδη δ' ἑπτά τ' ἔασι καὶ ἑξήκοντ' ἐνιαυτοί
βληστρίζοντες ἐμὴν φροντίδ' ἀν' Ἑλλάδα γῆν·

6 (I) Diog. Laert. 8, 36 *περὶ δὲ τοῦ ἄλλοτ' ἄλλον αὐτὸν* (i. e. *Πυθαγόραν*) *γεγενῆσθαι Ξενοφάνης ἐν ἐλεγείᾳ προσμαρτυρεῖ, ἧς ἀρχή·* [1]. *ὁ δὲ περὶ αὐτοῦ* (i. e. *Πυθαγόρου*) *φησιν, οὕτως ἔχει·* [2—5]. *καὶ ταῦτα μὲν ὁ Ξενοφάνης* || (II) Anth. P. 7, 120 [2—5] || (III) Anth. Pl. 1b, 49, 4 [2—5] || (IV) Suda s. v. *Ξενοφάνης* [2—5] || (V) Suda s. v. *στυφελίξαι* [2—4] || 2 cf. Hesych. *στυφελίζειν· διασείειν. κραδαίνειν. τινάσσειν. ὠθεῖν. πατάσσειν. ἐνυβρίζειν* || cf. Test. 77 (18) || 7 (I) Diog. Laert. 9, 18s *μακροβιώτατός γε γέγονεν* (*ὁ Ξενοφάνης*), *ὥς που καὶ αὐτός φησιν·* [1—4]. quae praecedunt vid. ad Test. 77 p. 159 || (II) Apostol. 8, 42r (Paroem. Gr. II 442, 15) [1—4]

3 α 344 *τοῦ κλέος εὐρὺ καθ' Ἑλλάδα* (ω 196) || 4 θ 580 *ἵνα ᾖσι καὶ ἐσσομένοισιν ἀοιδή* (Theogn. 251s) || 7 2 Theogn. 247 *καθ' Ἑλλάδα γῆν στρωφώμενος*

3 *ἐφίξεται* Steph., probb. edd. plerique (obloqu. Huds.-Will. qui *Σ* 270 contulit) || 4 *ἀοιδῶν* C | *ἑλλαδικόν* A -*κῶν* C (quod praetulerunt Casaub., Bgk. alii, advers. Dittenberger, Hermes 41, 1906, 209) || 6 Pythagorae placita his versibus derisa a Xenophane putant omnes fere viri docti, qui etiam Diogenis Laertii auctoritate iure nituntur || 1 *νῦν οὖν τ'* (I): corr. Steph. | nota *κέλευθον* hic translate adhiberi (cf. Parmen. 28 B 6, 7 D.-K., Empedocl. 31 B 115, 8 D.-K.) || 2 *δή τότε* (III) | *μὴν* (I) BF | *παριόντος* (I) B (IV) G || 3 *φασί γ'* (I) φ et P[ac] (IV) *φασι γ' οὖν* (I) F *φησὶν* (V) V | *ἐποικτεῖραι* codd.: corr. Fick || 3s *ἐποικτ. ... φίλου* om. (I) B, linearum duarum spatio relicto || 4 *ῥαπίζειν* (V) GM | *ἐπεὶ ἦ* Bgk. (cf. Denniston, Gr. Part. 286) *ἐπεὶ ἡ* vel *ἐπειὴ* vel *ἐπειῆ* codd. || 5 *ψυχή* nova notione hic adhibetur (cf. Sn., Entd. 36, adn. 1) | *τὴν δ'* dub. West *τῆς* Karsten | *ἔγνως* (I) F | *φθεγξαμένην* (IV) GVM -*μένοιο* Bgk. | nota *φθέγγ.* hic primum de animalium voce dictum | *ἀιών* (I) B || 7 ad rem cf. fr. 41 || 2 ad *βληστρ.* cf. Marković 117ss et Hippocr. Morb. 3, 7 | *βληστρίζοντ' ὑμὴν* (II) | *ἐμὴν φροντίδα* 'a poetic periphrasis ... for I' Marković, alii aliter

ἐκ γενετῆς δὲ τότ' ἦσαν ἐείκοσι πέντε τε πρὸς τοῖς,
εἴπερ ἐγὼ περὶ τῶνδ' οἶδα λέγειν ἐτύμως.

8 (9 D.—K.) *ἀνδρὸς γηρέντος πολλὸν ἀφαυρότερος.*

ΣΙΛΛΟΙ

9 (42 D.—K.) *καί ⟨κ'⟩ ἐπιθυμήσειε νέος νῆς ἀμφιπόλοιο.*

10 (21a D.—K.) *Ἔρυκος*

11 *κα]φνηλός*

12 (17 D.—K.) *ἑστᾶσιν δ' ἐλάτης ⟨βάκχοι⟩ πυκινὸν περὶ δῶμα.*

8 Et. Gen. s. v. *γῆρας* (42 Calame) . . . *ἡ μετοχὴ γηρείς 'γηρεὶς ἐν οἰκέοισι'* (fr. ia. adesp. 25 D. = 4 West)· *ἡ γενικὴ γηρέντος, ὥσπερ τιθέντος· Ξενοφάνης* (*Ξενοφῶν* codd.: corr. Sylb.), *οἷον·* [1]. *οὕτως Ἡρωδιανὸς ἐν τοῖς Περὶ παθῶν* (II 829, 25 Lentz). cf. Et. M. 230, 50 ‖ 9 Herodian. *π. μονήρους λέξεως* 7 (II 912, 4 Lentz) *καὶ παρὰ Ξενοφάνει ἐν δῳ Σίλλων* (sic corr. Die., *Ἀριστοφάνει ἐν διν Σίλλων* Haun., *Ἀρ. ἐν δ̄ συλλάβῳ* Vind., *Ξενοφάνει ἐν δ̄ Σ.* Seidler, *Ἀριστοφάνει ἐν Αἰολοσίκωνι* Dind., *Ἀρ. ἐν Δίνῳ* Ludw.)· [1] ‖ 10 P. Oxy. 1087, 40 *τὸ Ἔρυκος παρὰ Ξενοφάνει ἐν ε' Σίλλων* ‖ 11 Herodian. *π. καθολ. προσῳδ.* in cod. Vindob. hist. gr. 10 f. 5r (ed. H. Hunger, Jahrb. öst. byz. Gesellsch. 16, 1967, 5) *Σίλλοι, ε'· ..]φνηλος* ‖ 12 Schol. Aristoph. Equ. 408a (103 Mervyn Jones-Wilson) . . . *Βάκχον δὲ οὐ τὸν Διόνυσον ἐκάλουν μόνον, ἀλλὰ καὶ πάντας τοὺς τελοῦντας τὰ ὄργια βάκχους ἐκάλουν, οὐ μὴν ἀλλὰ καὶ τοὺς κλάδους οὓς οἱ μύσται φέρουσι. μέμνηται δὲ Ξενοφάνης* (sic corr. Kuester, Harles, Meineke pro *Ξενοφάντης*) *ἐν Σίλλοις οὕτως·* [1]. hinc Eudoc. *π. Βάκχου* 215 (148 Flach) ‖ cf. Hesych. *βάκχος· . . . κλάδος ὁ ἐν ταῖς τελεταῖς* | Suda s. v. *Βάκχος* (I 449, 23 Adler)· *οὕτως οὐ μόνον τὸν Διόνυσον ἐκάλει, ἀλλὰ καὶ πάντας τοὺς τελοῦντας τὰ ὄργια· οὐ μὴν καὶ τοὺς κλάδους ⟨οὓς⟩ οἱ μύσται φέρουσιν*

3 *Ω* 535 *ἐκ γενετῆς* (*σ* 6, in initio versus) ‖ 8 *Η* 457 *σέο πολλὸν ἀφαυρότερος* ‖ 12 Hymn. Ven. 264ss *ἐλάται . . . ἑστᾶσιν* | *Κ* 267 *πυκινὸν δόμον* (*Μ* 301 al.)

3 *τότ(ε)* ad Medorum irruptionem fortasse refertur (cf. Herodt. 1, 162), i. e. ad annum 540 vel potius 545; vid. ad 13, 5 ‖ 4 *α* 214ss contulit Huds.-Will. ‖ 8 ad *γηρ.* cf. Schwyzer, Gr. Gr. I 743, adn. 12 | *πολλῶν* A ‖ 9 ad titulum cf. etiam Test. 55; 101; 107; 111; 114; de Sillis vid. Wachsm., Sill. Gr. 55ss; 188ss | inter fragmenta dubia ponunt D.-K. | suppl. Dind. | ad *νῆς* cf. p. XIII ‖ 10 *Ἔρυκος* pro *Ἔρυξ* ‖ 11 *κα]φνηλός* Hunger, qui *καπνηλός* confert ‖ 12 *ἑστᾶσι* codd.: corr. Kuester ap. Wachsm., Syll. | *ἐλάτης* **ΓΘ** et ex con. Wachsm. *-τη* VE *ἐλάται* Eudoc. | add. Wachsm. coll. Eur. Ba. 110 | *περὶ δῶμα πυκινόν* **ΓΘ** | *ἐλατῶν πυκινοὶ περὶ δώμα⟨τα βάκχοι⟩* Lob., Agl. I 308, adn. 1, probb. Hi.-Cr. (nisi quod *ἐλάτης* scripserunt) *ἐλατῶν πυκινῶν περὶ δώματα βάκχοι* Mull.

13 (22 D.—K.)

πὰρ πυρὶ χρὴ τοιαῦτα λέγειν χειμῶνος ἐν ὥρῃ
ἐν κλίνῃ μαλακῇ κατακείμενον, ἔμπλεον ὄντα,
πίνοντα γλυκὺν οἶνον, ὑποτρώγοντ' ἐρεβίνθους·
'τίς πόθεν εἷς ἀνδρῶν; πόσα τοι ἔτη ἐστί, φέριστε;
5 πηλίκος ἦσθ', ὅθ' ὁ Μῆδος ἀφίκετο;'

14 (10 D.—K.) ἐξ ἀρχῆς καθ' Ὅμηρον ἐπεὶ μεμαθήκασι πάντες

15 (11 D.—K.)

πάντα θεοῖς ἀνέθηκαν Ὅμηρός θ' Ἡσίοδός τε,
ὅσσα παρ' ἀνθρώποισιν ὀνείδεα καὶ ψόγος ἐστίν,
κλέπτειν μοιχεύειν τε καὶ ἀλλήλους ἀπατεύειν.

13 (I) Athen. 2, 54e *Ξενοφάνης ὁ Κολοφώνιος ἐν Παρῳδίαις* (*Παρῳδαῖς* codd.: corr. Menagius ad Diog. Laert. 9, 18, vid. infra)· [1—5 CE, deest A] || (II) Eust. in Il. p. 948, 40 *ἐρεβίνθων δὲ μνεία καὶ παρὰ Ξενοφάνει, ὡς χρηστῶν ὄντων ἐν συμποσίῳ. φησὶ γάρ·* [3] || **14** Herodian. π. διχρόνων 296 (II 16, 20 Lentz = Anecd. Oxon. III 296, 5 Cramer) *οἱ μέντοι ποιηταὶ πολλάκις ἐπὶ τούτοις* (scil. *τοῖς ἑστήκασι, βεβασιλεύκασι, τετύφασι κτλ.*) *συστολὰς ποιοῦνται, ὡς παρὰ Ξενοφάνει·* [1]. *καὶ πάλιν·* [fr. 37] || cf. Choerob. in Theodos. (Gramm. Gr. IV 2, 88, 27 Hilgard) et Dracon. Straton. p. 33 Herm., ubi versus ad brevem syllabam (-*κᾰσι*) probandam affertur || **15** Sext. Empir. Adv. math. 9, 193 *ἔνθεν καὶ ὁ Ξενοφάνης διελέγχων τοὺς περὶ Ὅμηρον καὶ Ἡσίοδόν φησι·* [1—3] || cf. Test. 77 (18)

13 1 *η* 154 *πὰρ πυρὶ* (passim Hom., in ineunte versu) | *ε* 485 *ὥρῃ χειμερίῃ* || 2 *χ* 196 *εὐνῇ ἔνι μαλακῇ καταλέγμενος* (*I* 618, *X* 504 al.) || 4 *α* 170 *τίς πόθεν εἷς ἀνδρῶν* (passim) | *Z* 123 *τίς δὲ σύ ἐσσι, φέριστε;* (*O* 247, *Ω* 387) || **14** *α* 188 *ἐξ ἀρχῆς* (*λ* 438 al., in initio versus)

13 *ἐν Παρῳδίαις* i. e. *ἐν Σίλλοις*, cf. Diog. Laert. 9, 111 *τῶν δὲ Σίλλων* (scil. *Τίμωνος*) *τρία ἐστίν, ἐν οἷς ὡς ἂν σκεπτικὸς ὢν πάντας λοιδορεῖ καὶ σιλλαίνει τοὺς δογματικοὺς ἐν παρῳδίας εἴδει* || notabilior Homericus color || ad rem cf. Hes. fr. 274 Merk.-West *ἐν δαιτὶ καὶ εἰλαπίνῃ τεθαλυίῃ τέρπεσθαι μύθοισιν, ἐπὴν δαιτὸς κορέσωνται* et Phocyl. 14 || 2 *κλίνῃ ἔνι* Mein. (Anal. ad Athenaeum 28) coll. *χ* 196 || 3 *ἐπιτρώγοντ'* Koraës, Mein. || 4 *ἔτε'* D. alii || 5 *Μῆδος* ex multorum sententia (praeeunte G. F. Ungero, Philologus 43, 1884, 215) est Harpagus, qui Iones subegit anno 545 (vid. ad 7, 3), sed *ὁ Μῆδος* idiotismus videtur pro Medorum gente adhibitus (cf. Wack., Vorl. I 92s) || **14** post *Ὅμηρον* interpunxerunt Herm. et Schndw. (Zeitschr. f. Alterthumsw. 1834, 740) | ad -*ᾰσι* cf. *η* 114, *λ* 304 al. et Schwyzer, Gr. Gr. I 664s | *τοὺς θεοὺς κακίστους εἶναι* sententiam continuare suspicatur Die., coll. Plat. Rep. 10 p. 600 de || **15** frr. 15 et 16 apud Sext. Empir. disiuncta in unum Karsten, Wachsm. alii redegerunt (vid. ad fr. 16 adn.) || 1ss Karsten contulit Varr. ap. Augustin. De civ. Dei 6, 5 *primum quod dixi genus theologiae mythicum. in eo sunt multa contra dignitatem et naturam immortalium ficta: in hoc enim est ut... dii furati sint, ut adulteraverint, ut servierint homini, denique in hoc omnia diis attribuuntur, quae non modo in hominem sed etiam in contemptissimum hominem cadere possunt* || 3 *ἀπατεύειν* hapax

16 (12 D.–K.)

ὡς πλεῖστ' ἐφθέγξαντο θεῶν ἀθεμίστια ἔργα,
κλέπτειν μοιχεύειν τε καὶ ἀλλήλους ἀπατεύειν.

17 (14 D.–K.)

ἀλλ' οἱ βροτοὶ δοκέουσι γεννᾶσθαι θεούς,
τὴν σφετέρην δ' ἐσθῆτα ἔχειν φωνήν τε δέμας τε.

18 (16 D.–K.)

Αἰθίοπές τε ⟨θεοὺς σφετέρους⟩ σιμοὺς μέλανάς τε
Θρῇκές τε γλαυκοὺς καὶ πυρρούς ⟨φασι πέλεσθαι⟩.

16 SEXT. EMPIR. Adv. math. 1, 288 s *ἂν δὲ καὶ ἐξετάσῃ τις, πολλῷ χείρονα τῆς τῶν ἰδιωτῶν ὑπολήψεως εὑρήσει τὰ τῶν ποιητῶν ... Ὅμηρος δὲ καὶ Ἡσίοδος κατὰ τὸν Κολοφώνιον Ξενοφάνη* [1–2] || **17** (I) CLEM. ALEX. Strom. 5, 109, 2 *καὶ πάλιν·* [1–2]. praecedit fr. 26 || (II) EUSEB. Praep. Ev. 13, 13, 36 *καὶ πάλιν·* [1–2] (e Clemente) || (III) THEODORET. Graec. aff. cur. 3, 72 Raeder *τούτου δὲ τοῦ πλάνου κατηγορῶν Ξενοφάνης ὁ Κολοφώνιος τοιάδε φησίν·* [1–2]. sequitur fr. 19 || **18** CLEM. ALEX. Strom. 7, 22, 1 ss *Ἕλληνες δὲ ὥσπερ ἀνθρωπομόρφους οὕτως καὶ ἀνθρωποπαθεῖς τοὺς θεοὺς ὑποτίθενται, καὶ καθάπερ τὰς μορφὰς αὐτῶν ὁμοίας ἑαυτοῖς ἕκαστοι διαζωγραφοῦσιν, ὥς φησιν ὁ Ξενοφάνης·* [1–2], *οὕτως καὶ τὰς ψυχὰς ὁμοίους ἑαυτοῖς αὐτοὺς ἀναπλάττουσιν* || cf. THEODORET. Graec. aff. cur. 3, 73 Raeder *εἶτα σαφέστερον κωμῳδῶν (ὁ Ξενοφάνης) τήνδε τὴν ἐξαπάτην, ἀπὸ τοῦ χρώματος τῶν εἰκόνων διελέγχει τὸ ψεῦδος. τοὺς μὲν γὰρ Αἰθίοπας μέλανας καὶ σιμοὺς γράφειν ἔφησε τοὺς οἰκείους θεούς, ὁποῖοι δὴ καὶ αὐτοὶ πεφύκασι, τοὺς δέ γε Θρᾷκας γλαυκούς τε καὶ ἐρυθρούς, καὶ μέντοι καὶ Μήδους καὶ Πέρσας σφίσιν αὐτοῖς ἐοικότας, καὶ Αἰγυπτίους ὡσαύτως αὐτοὺς διαμορφοῦν πρὸς τὴν οἰκείαν μορφήν*

16 1 *ι* 428 *ἀθεμίστια εἰδώς* (*υ* 287 in hexam. exeunte) || **17** 2 *τ* 381 *δέμας φωνήν τε* (*N* 45 al.)

16 Xenophani abiudicavit Be.; fragmento antecedenti subiunxerunt, deleto v. 2, Karsten et Wachsm., advers. iure Groni. 223, adn. 2 || 1 *ὅς* codd.: em. Fabric. *οἳ* Steph. *καὶ* Karsten *ὥς* Wachsm. | *ἐφθέγξατο* codd.: em. Fabric. || 2 *ἀλλήλοις* codd. praeter unum || **17** 1 *ἀλλὰ βροτοὶ δοκέουσι θεοὺς γεννᾶσθαι* ⟨⏑ — —⟩ Steph., ut hexametrum efficeret. eum secuti sunt Karsten et Mull., Wachsm., Kurfess, qui *ὁμοίως* in fine versus addiderunt (Kurfess *γεννᾶσθαι* etiam in *τεκνοῦσθαι* mutavit), sed ad trimetrum iambicum cum hexametro iunctum cf. epigr. vet. apud Buchner-Russo, Rend. Accad. Lincei 10, 1955, 222 (Pithecusis, saec. VIII in.), Margit. fr. 1 Kinkel, Crit. 2, 2 D., Preger, Inscr. Gr. metr. p. 38 adn. 44 etc. | *δοκοῦσι* (I) (II) (III): corr. Steph. || 2 *καὶ ἴσην τ' αἴσθησιν ἔχειν* (III), accepit Brandis (dub. etiam Kal.) *τὴν σφετέρην τ' αἴσθησιν* Mull., Zeller | *σφετέραν* (II) IN | *ἐσθῆτα δ'* Giles, D. adn., hiatus vitandi causa (sed cf. *A* 569 et Chantraine, Gr. Hom. I 90) *ἐσθῆτα τ'* Karsten (deleto *δ'*), probb. Wil. (Kl. Schr. IV 603), Hi. (sed *δ'* servato) et Kurfess | *φωνήν τε δέμας τε* om. (II) B | *μορφήν* pro *φωνήν* Karsten, advers. Mull. || **18** 1 s ad *Αἰθ. μέλ.* cf. Aesch. fr. 370 N.[2] (*μελαντέρφων γένος*), Herodt. 3, 101, 1 s *τὸ χρῶμα φορέουσι* (scil. *οἱ Ἰνδοί*) *ὅμοιον πάντες καὶ παραπλήσιον Αἰθίοψι. ἡ γονὴ δὲ αὐτῶν ... οὐ κατά περ*

19 (15 D.—K.)

ἀλλ' εἰ χεῖρας ἔχον βόες ⟨ἵπποι τ'⟩ ἠὲ λέοντες
καὶ γράψαι χείρεσσι καὶ ἔργα τελεῖν ἅπερ ἄνδρες,
ἵπποι μέν θ' ἵπποισι, βόες δέ τε βουσὶν ὁμοίας
καί ⟨κε⟩ θεῶν ἰδέας ἔγραφον καὶ σώματ' ἐποίουν
5 τοιαῦθ', οἷόν περ καὐτοὶ δέμας εἶχον ὁμοῖον.

20 (18 D.—K.)

οὔ τοι ἀπ' ἀρχῆς πάντα θεοὶ θνητοῖς ὑπέδειξαν,
ἀλλὰ χρόνῳ ζητοῦντες ἐφευρίσκουσιν ἄμεινον.

19 (I) Clem. Alex. Strom. 5, 109, 3 (post fr. 17) *καὶ πάλιν·* [1—5] || (II) Euseb. Praep. Ev. 13, 13, 36 *καὶ πάλιν·* [1—5]. praecedit fr. 17 || (III) Theodoret. Graec. aff. cur. 3, 72 Raeder *καὶ πάλιν·* [1—5]. praecedit fr. 17 || **20** (I) Stob. Ecl. 1, 8 (*π. χρόνου οὐσίας κτλ.*), 2, I 94 W. [FP] *Ξενοφάνους·* [1—2] || (II) Stob. 3, 29 (*π. φιλοπονίας*), 41, III 635 H. [SMA] *Ξενοφάνους·* [1—2] || cf. Diogen. Oen. fr. 10 col. II 4ss (20 Chilton)

19 1ss Epicharm. fr. 173, 3ss Kaib. *καὶ γὰρ ἁ κύων κυνὶ κάλλιστον εἶμεν φαίνεται, καὶ βῶς βοί, ὄνος δ' ὄνῳ κάλλιστον, ὗς δὲ θὴν ὑί*

τῶν ἄλλων ἀνθρώπων ἐστὶ λευκή, ἀλλὰ μέλαινα κατά περ τὸ χρῶμα (3, 17, 3 et 7, 70, 6 de Aethiopibus Orient. et Occid., vid. Stein ad l.) et Schol. Apoll. Rhod. 4, 1348; ad *Θρῇκες γλ. καὶ πυρρ.* cf. ex. gr. Herodt. 4, 108, 1 *Βουδῖνοι* (gens Scythica) ... *γλαυκόν τε πᾶν ἰσχυρῶς ἐστι καὶ πυρρόν* et W. Tomaschek, Die alten Thraker, Sitzungsb. Akad. Wiss. Wien 128 (1893), 115s | *Αἰθίοπές τε μέλανας σιμούς τε Θρᾷκές τε πυρροὺς καὶ γλαυκούς* cod.: ex. gr. restituit Die., alii aliter, advers. Wil. ms. (cf. D.-K., Vors. 490, 45)

